A. 2. Am häufigsten absolut erscheint εἰπεῖν, besonders in Verbindung mit ὡς, das den Begriff des ungefähr Passenden der Aeußerung enthält. vgl. § 69, 63, 5. So steht ὡς (ἔπος) εἰπεῖν fast möchte man sagen, im Gegensatze zu genauem Ausdrucke (ἀκριβεῖ λόγῳ), besonders häufig ein πᾶς oder οὐδείς mildernd [z. Th. 1, 1, 2, Stallbaum zu Plat. Rep. 341, b u. Lobeck Paralipp. p. 59], ὡς συνελόντι, συντόμως, ἁπλῶς, τὸ ὅλον εἰπεῖν, ὡς ἐν ὑμῖν αὐτοῖς εἰρῆσθαι ꝛc. vgl. über συνελόντι § 48, 5, 2. Εἰσὶν ἑαυτοῖς εὖνοι πάντες, ὡς εἰπεῖν, ἄνθρωποι. Ξε. οἰκ. 12, 8. Σχεδόν, ὡς εἰπεῖν, κοιρωτάτην ἔχει πίστιν τὸ ἦθος. Ἀρλ. ῥητ. 1, 2. Ποτέρως λέγεις τὸν ἄρχοντα, τὸν ὡς ἔπος εἰπεῖν ἢ τὸν ἀκριβεῖ λόγῳ; Πλ. πολ. 341. — Ἄνευ ἀρχόντων οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν γένοιτο, ὡς συνελόντι εἰπεῖν, οὐδαμοῦ. Ξε. ἀπ. 3, 1, 38. Ὡς συντόμως εἰπεῖν, πονηροῦ δεσπότου οἰκέτας οὐ δοκῶ χρηστοὺς καταμεμαθηκέναι. Ξε. οἰκ. 12, 19. Ὡς ἁπλῶς εἰπεῖν καὶ μὴ καθ' ἓν ἕκαστον, ἀλλ' ὡς ἐπὶ τὸ πολύ, τίς τῶν πολεμησάντων τοῖς Πέρσαις οὐκ εὐδαιμονήσας ἀπῆλθεν; Ἰσ. 4, 154. Τοῦτό που, ὡς τὸ ὅλον εἰπεῖν, ψεῦδος, ἔνι δὲ καὶ ἀληθῆ. Πλ. πολ. 377. Θεμιστοκλῆς, τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει, μελέτης δὲ βραχύτητι κράτιστος δὴ αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο. Θ. 1, 138, 4. — Ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι, ἐὰν κολάζητε τοὺς ἀδικοῦντας, ἔσονται ὑμῖν οἱ νόμοι καλοὶ καὶ κύριοι. Αἰ. 1, 177. Οὐδεμία ἔμοιγε δοκεῖ τέχνη ἡ ῥητορικὴ εἶναι, ὡς γε πρὸς σὲ τἀληθῆ εἰρῆσθαι. Πλ. Γο. 462.

(A. 3. Aehnlich sind Ausdrücke wie (ὡς) ἐμοὶ δοκεῖν wie es mir scheint, (ὡς) οὕτωσὶ ἀκοῦσαι wenn man es so anhört, (ὡς) εἰκάσαι wie zu vermuthen ist oder wenn man vergleicht u. ä. [Hermann z. Vig. 154 u. 156.] Εἰσέρχονται μαθηταὶ πολλοί, ἐμοὶ δοκεῖν. Πλ. Εὐθύδ. 273. Τὰ τρία ἡμῖν ἐν τῇ πόλει κατῶπται, ὡς γε οὕτωσὶ δόξαι. Πλ. πολ. 432. — Ἔστι τοῦτο, οὕτωσὶ ἀκοῦσαι, λόγον τιν' ἔχον. Δη. 20, 18. Ἀκοῦσαι οὕτωσὶ παγκάλως ἔχει. Δη. 19, 47. — Ἑλένης τὸ κώκυμ' ἐστίν, ὡς ἀπεικάσαι. Εὐ. Ὀρ. 1298. Ἐγίγνοντο ἐν τῷ αὐτῷ ξυμπτώματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις. Θ. 4, 36, 3.

A. 4. Absolut, gewiß ohne Ergänzung, gebrauchte man den Infinitiv auch zur Bezeichnung eines Wunsches (optativisch), als eine Art Ausruf, der auch bloß ein sich gefallen lassen ausdrücken kann. Das Subject steht dabei im Accusativ. Θεοὶ πολῖται, μή με δουλείας τυχεῖν. Αἰσχ. ἑπ. 253. Πείθεσθε, καὶ παραστῆναι παντὶ τὸ καταφρονεῖν τοὺς ἐπιόντας ἐν τῶν ἔργων τῇ ἀλκῇ δείκνυσθαι. Θ. 6, 34, 8. — Ξ. Μίσθωσαί τινα. Δ. ἐὰν δὲ μὴ 'χω; Ξ. τότ' ἔμ' ἄγειν. Ἀρ. βά. 169. [Hermann De ell. p. 131 s. u. Bekker Homer. Bl. S. 224 ff. Ueber den Gebrauch in Verträgen z. Th. 4, 16, 1 u. 8, 37, 3.]

A. 5. Die zweite Person wird so nicht leicht vorkommen; ähnlich jedoch steht sie imperativisch mit dem Subject im Nominativ, der aber wohl ursprünglich als vocativische Anrede zu betrachten ist. [Hermann z. Vig. 157?] Σὺ Κλεαρίδα, τὰς πύλας ἀνοίξας ἐπεκθεῖν. Θ. 5, 9, 5. Ἀκούετε λεώ, πίνειν ὑπὸ τῆς σάλπιγγος. Ἀρ. Ἀχ. 1000. Μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιοτεύειν. Φωκ. 3.

A. 6. Mit τό steht der absolute Infinitiv exclamativ, einmal als Ausruf des Aergers: daß ich doch —; dann auch als Ausruf der Verwunderung: was sagst du dazu daß —. Τῆς τύχης, τὸ ἐμὲ νῦν κληθέντα δεῦρο τυχεῖν. Ξε. Κυ. 2, 2, 3. — Τὸ δὲ μὴ πατάξαι σ' ἐξελεγχθέντ' ἄντικρυς. Ἀρ. βά. 741.

A. 7. Absolut bezeichnet der Infinitiv mit τό auch unser: was das anbetrifft; eben so τὸ μὴ mit dem Infinitiv unser daß nicht; jenes meist Nominativ, dieses Accusativ. Τὸ μηδὲ ἄκοντά τινα ἐξαπατῆσαι, μέγα μέρος εἰς τοῦτο ἡ τῶν χρημάτων κτῆσις ξυμβάλλεται. Πλ. πολ. 331. — Τὸν ὅμιλον τῶν φιλῶν εἴργον τὸ μὴ τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. Θ. 3, 1.

2. In zusammenhängender Rede steht das Subject des Infinitivs, wenn eins da ist, im Nominativ, wenn es das Subject des den Infinitiv regierenden Verbums bloß erneuert; im Accusativ (wie im Lateinischen in beiden Fällen), wenn es ein neuer, verschiedener Begriff ist.

A. 1. Im erstern Falle muß das Subject des Infinitivs mit dem des regierenden Verbums natürlich gleichbedeutend sein, in der Regel also ein Pronomen. Für beide Fälle gleich anwendbar ist die Regel, mag der Infinitiv mit oder ohne Artikel stehen, wie sie auch nach ὡς, ὥστε, ἢ μήν und πρίν mit dem Infinitiv beobachtet wird. [Nach ὅς Th. 6, 64, 5.] Ἐγὼ ἤθελον τούτῳ ταύτην ἥτις εἴη μεγίστη πίστις δοῦναι, ἡ μήν ἐγὼ τοῦ πατρὸς ἀκούειν. Δη. 52, 12. Ἔδοξε πάσσοφος εἶναι διὰ τὸ αὐτὸς μὴ οἷός τ' εἶναι ἐπιστήμην καὶ ἀνεπιστημοσύνην καὶ μίμησιν ἐξετάσαι. Πλ. πολ. 598. Εἰ οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα σώσειν, ὑμεῖς δὲ ἀποδράσεσθαι τὰ πράγματα, οὐκ ὀρθῶς οἴεσθε. Δη. 9, 74. Οὐκ ἔφη αὐτός, ἀλλ' ἐκεῖνον στρατηγεῖν. Θ. 4, 28, 2. [Arndt De pron. 2 p. 24.] — Οἱ βραδεῖς ἂν παιδευθῶσι καὶ γυμνάσωνται, εἴς γε τὸ ὀξύτεροι αὐτοὶ αὑτῶν γίγνεσθαι πάντες ἐπιδιδόασιν. Πλ. πολ. 526. Φασί τινες οὐκ ἐνούσης ἐν τῇ ψυχῇ ἐπιστήμης σφεῖς ἐντιθέναι. Πλ. πολ. 518. Αὐτῷ τούτῳ διαφέρει τῷ ἡ μὲν ἡδονὴ εἶναι, ἡ δὲ μὴ ἡδονὴ τῶν ἡδονῶν. Πλ. Ἰπ. 299. Ὀρέγονται τοῦ πρῶτος ἕκαστος γίγνεσθαι. Θ. 2, 65, 6. — Ἀναξίβιος διεπράξατο ὥστε αὐτὸς ἐκπλεῦσαι ἁρμοστής. Ξε. Ἑλ. 4, 8, 32. Ἔπεμψε πρὶν ἐν Τεγέᾳ αὐτὸς εἶναι. Ξε. Ἑλ. 5, 4, 37. — Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν, αἰσχρόν τε μοχθεῖν μὴ θέλειν νεανίαν. Εὐ. Τήλ. 27 u. Κρησ. 6. Τὸ γυναῖκ' ἔχειν εἶναί τε παίδων Παρμένων πατέρα μερίμνας τῷ βίῳ πολλὰς φέρει. Μέ. 622. Πρὶν γενέσθαι ἡμᾶς ἦν ἡμῶν ἡ ψυχή. Πλ. Φαίδ. 77.

(A. 2. Der Nominativ kann auch beibehalten werden, wenn der Infinitiv sich nicht unmittelbar, sondern etwa durch ein δεῖν oder χρῆναι dem Hauptsatze anschließt; eben so wird in dieser Verbindung auch das Prädicat (A. 4) auf einen beim Infinitiv als Subject zu denkenden Nominativ bezogen im Nominativ gesetzt. [Vgl. Arndt De pron. 2 p. 21 s.] Πεποίηκα τοῦτ' ἐγώ· διό φημι δεῖν αὐτὸς στεφανοῦσθαι. Δη. 51, 1. Εἰ οἴεσθε χρῆναι, οὓς ἐκεῖνοι παρέλιπον ἀδικοῦντες, ὑμεῖς ἀπολέσαι, οὐδεὶς τῶν πολιτῶν ἀπολειφθήσεται. Λυ.

25, 18. Οἱ τύραννοι αὐτοί τε ὡπλισμένοι οἴονται ἀνάγκην εἶναι διάγειν καὶ ἄλλους ὁπλοφόρους ἀεὶ συμπεριάγεσθαι. Ξε. Ἱέρ. 2, 8.

A. 3. Da das Subject ſich ſelbſt objectiviren, ſich ſelbſt als Gegenſtand der Betrachtung vorſtellen kann, ſo findet ſich nicht ſelten, beſonders bei Gegenſätzen, ſtatt des Nominativs der Accuſativ beim Infinitiv. Vgl. § 51, 2, 2. So auch das Prädicat. vgl. A. 4. Ἐγὼ οἶμαι καὶ ἐμὲ καὶ σὲ καὶ τοὺς ἄλλους ἀνθρώπους τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι κάκιον ἡγεῖσθαι. Πλ. Γο. 474. Φημὶ δεῖν ἐκείνους μὲν ἀπολέσθαι, ὅτι ἠσέβησαν, ἐμὲ δὲ σώζεσθαι, ὅτι οὐδὲν ἡμάρτηκα. Ἀνδ. 1, 30. — Ταῦτ' οὐκ οἶμαι οὕτως ἔχειν, ἀλλ' ἐμὲ φαῦλον εἶναι ζητητήν. Πλ. Χαρ. 175. Γέγραφεν „ὄντων παίδων", ἵνα φάσκων αὐτὸν εἶναι. Δη. 44, 48. vgl. Eu. unbeſt. Br. 89. (Ἐλθὼν ἀπεκινδύνευσεν ἡμέραν μίαν, ὥστ' ἢ γεγονέναι λαμπρὸν ἢ τεθνηκέναι. Ἀντιφά. 122, 4. vgl. Th. 1. 12, 3. Voß z. H. an Dem. 332. Ueber den Fall wo σφᾶς nothwendig iſt z. Th. 3, 24, 1 u. Arndt De pron. 2 p. 37 u. 38.)

A. 4. Weggelaſſen wird das perſönliche Pronomen als Subjectsnominativ, wenn es mit dem Subject des regierenden Verbums eins und nicht betont iſt; ſein Prädicat aber (wie auch ſonſt zugehörige nominale Begriffe) ſteht auch dann im Nominativ. Ἐπομόσας λέγω ἢ μὴν πιστεύειν σοι φύσει νομίζειν φιλεῖν ταῦτα πάντας ἀφ' ὧν ἂν ὠφελεῖσθαι νομίζωσιν. Ξε. οἰκ. 20, 29. Νόμιζε γήμας δοῦλος εἶναι διὰ βίου. Μέ. 382. Εἴπερ ἀξιοῦμεν ἐλεύθεροι εἶναι, ἑκόντας δεῖ ποιεῖν ὃ πλείστου ἄξιον φαίνεται εἶναι. Ξε. Κυ. 8, 1, 4. — Οἱ γιγνώσκεσθαι δοκοῦντες ὑπὸ τοῦ ἄρχοντος τοῦ καλόν τι ποιοῦντες ὁρᾶσθαι μᾶλλον ὀρέγονται. Ξε. Κυ. 5, 3, 48. Ἀθάνατα μὲν φρόνει τῷ μεγαλόψυχος εἶναι, θνητὰ δὲ τῷ συμμέτρως τῶν ὑπαρχόντων ἀπολαύειν. Ἰσ. 1, 32. — Ἡ τῆς ψυχῆς φιλία διὰ τὸ ἀγνὴ εἶναι καὶ ἀκορεστοτέρα ἐστίν. Ξε. συ. 8, 15. Ἐκ τοῦ πρότερος λέγειν ὁ διώκων ἰσχύει. Δη. 18, 7. Ἄποικοι οὐκ ἐπὶ τῷ δοῦλοι ἀλλ' ἐπὶ τῷ ὁμοῖοι τοῖς λειπομένοις εἶναι ἐκπέμπονται. Θ. 1, 34, 1. Οὐδὲν διαφέρει πρὸς τὸ ἰσχὺς εἶναι ἡ ἰσχύς, ἐάν τε ἐν ἀνδρὶ ᾖ, ἐάν τε ἐν γυναικί. Πλ. Μέ. 72. Περικλῆς πρὸς τῷ εὐφυὴς εἶναι ἐκτήσατο τὸ ὑψηλόνουν. Πλ. Φαῖδ. 270. Ἡ πόλις ἀντὶ τοῦ πόλις εἶναι φρούριον κατέστη. Θ. 7, 28, 2. — Ὀλίγοι ἐσμὲν ὡς ἐγκρατεῖς εἶναι αὐτῶν. Ξε. Κυ. 4, 5, 15. Πλήθει ὑπερφέρομεν ὥστε τὴν γῆν δῃοῦν ἐπιφοιτῶντες. Θ. 1, 81, 1. [Ueber den Nu. eines Particips im Plural auf den Singular eines Verbums bezogen z. Th. 6, 25, 3.]

A. 5. Wenn ein dem Infinitiv beizufügendes Prädicat oder ein anderer nominaler Begriff ſich auf einen Dativ oder Genitiv des (Haupt-) Satzes bezieht, ſo ſteht es gleichfalls im Dativ oder Genitiv. Αὕτη αὐτοῖς αἰτία ἐγένετο δυοῖν γενέσθαι ἡ ξύνοδος. Πλ. Φαῖδ. 97. Ἅπασιν ἀνάγκη τῷ τυράννῳ πολεμίῳ εἶναι. Πλ. πολ. 567. Οὐδενὶ σχολὴ διὰ βίου κάμνειν ἰατρευομένῳ. Πλ. πολ. 406. Τοῖς πλουτοῦσι τοῦτο ἔμφυτον σκαιοῖσιν εἶναι. Εὐ. Φαέθ. 12. — Μή μοί ποτ' εἴη χρημάτων νικωμένῳ κακῷ γενέσθαι μηδ' ὁμιλοίην κακοῖς. Εὐ. Δικ. 12. Τεκόντι ἀρετὴν ἀληθῆ καὶ θρεψαμένῳ ὑπάρχει θεοφιλεῖ γενέσθαι. Πλ. συ. 212. — Οὐκ ἀλλοτρίοις ὑμῖν χρωμένοις παραδείγμασιν, ἀλλ' οἰκείοις εὐδαίμοσιν ἔξεστι γενέσθαι. Δη. 3, 23. Παντί που μᾶλλον ἐγχωρεῖ ἢ φύλακι μεθυσθέντι μὴ εἰδέναι ὅπου γῆς ἐστιν. Πλ. πολ. 403. — Παντὶ προσήκει ἄρχοντι φρονίμῳ εἶναι. Ξε. Ἱππ. 7, 1. Πρέπει τῷ λόγῳ ξυνῳδῷ εἶναι. Πλ. Φαῖδ. 92. — Ἐξαρκεῖ αὐτοῖς καταζῆν ἀγάμοις. Πλ. συ. 192. Συμφέρει τῇ πόλει τοιοῦτον οὐδὲν ἐψηφισμένῃ φαίνεσθαι. Δη. 23, 138. Τῶν πόλεων ταῖς ὑπερεχούσαις λυσιτελεῖ ἐξ ἀνθρώπων ἀφανισθῆναι μᾶλλον ἢ δούλαις ὀφθῆναι γενομέναις. Ἰσ. 4, 95. — Τίμιον ἦν πᾶσιν ἀνθρώποις τὸ γενέσθαι πολίταις παρ' Ἀθηναίοις. Δη. 23, 200. Παρασκευὴ ἔσται αὐτῷ ἐπὶ τὸ οἷός τε εἶναι ὡς πλεῖστα ἀδικεῖν. Πλ. Γο. 510. — Ἀνεγέλασεν ἐπὶ τῷ κρείττονι τοῦ Ἔρωτος φάσκοντι εἶναι. Ξε. Κυ. 6, 1, 34.

Οὐκ ἀφθονία τῶν προθυμουμένων ὡς ἀρίστων ὅτι μάλιστα καὶ ὡς τάχιστα γίγνεσθαι. Πλ. νό. 718. Ὀλίγοι ἄν τινες τῶν προσποιουμένων εἶναι

σοφῶν ἐρωτηθέντες οὐκ ἂν φήσαιεν. Ἰσ. 12, 118. — Οἱ Λακεδαιμόνιοι Κύρου ἐδέοντο ὡς προθυμοτάτου πρὸς τὸν πόλεμον γενέσθαι. Ξε. Ἑλ. 1, 5, 2. Οἱ Ἀθηναῖοι τῶν πολεμίων ἀνυποστάτων οἰομένων εἶναι ἐκράτησαν. Ἰσ. 4, 71. — Οἱ Συρακόσιοι ἐγηγερμένοι ἦσαν μὴ ἀνιέναι τὰ τῶν Ἀθηναίων, ὡς καὶ αὐτῶν κατεγνωκότων ἤδη μηκέτι κρείσσόνων εἶναι σφῶν. Θ. 7, 51, 1. Βουλομένων ὑμῶν προθύμων εἶναι μενοῦμεν. Θ. 1, 71, 4. [Vgl. Her. 3, 75, 1 u. Lobeck zu So. Ai. 1006.]

A. 6. Das Prädicat beim Infinitiv kann ſich auch auf einen bei dem (Haupt-) Satze nur zu denkenden Begriff beziehen, nicht bloß wenn als ſolcher ein beſtimmtes Nomen zu ergänzen iſt, ſondern auch wenn ein allgemeiner Begriff, wie τὶς man oder ἄνθρωποι vorſchwebt. In beiden Fällen erſcheint der Ac. am häufigſten. Τοσοῦτον μόνον σε ἐγίγνωσκον ὅσον ἤκουον Ἀθηναῖον εἶναι. Ξε. ἀν. 3, 1, 45. Οὐ φιλογέλωτας δεῖ εἶναι (erg. αὐτούς, τοὺς νέους). Πλ. πολ. 388. Ἄριστα οἶμαι ζῆν τοὺς ἄριστα ἐπιμελομένους τοῦ ὡς βελτίστους γίγνεσθαι. Ξε. ἀπ. 4, 8, 6. — Κράτιστόν ἐστιν (erg. ἐμοὶ) μαθητῇ σῷ γενέσθαι. Πλ. Εὐθύφ. 5. Οὐκ ἀκούσασί γε (erg. ἡμῖν) τὸ λόγου κρεῖττον ἔστι καταμαθεῖν. Ξε. ἀπ. 3, 11, 1. Vgl. zu Xe. An. 4, 1, 17.

Ὁμολογῶ σωφροσύνην εἶναι τὸ γιγνώσκειν αὐτὸν ἑαυτόν. Πλ. Χαρ. 165. Φιλάνθρωπον εἶναι δεῖ καὶ φιλόπολιν. Ἰσ. 2, 15. Ἥδιστόν ἐστιν εὐτυχοῦντα νοῦν ἔχειν. Μέ. μο. 207. — Οὐ τὸ μὴ λαβεῖν τὰ ἀγαθὰ οὕτω γε χαλεπὸν ὥσπερ τὸ λαβόντα στερηθῆναι λυπηρόν. Ξε. Κυ. 7, 5, 82. Ἄνευ τοῦ δεόμενον τυγχάνειν τινὸς οὐδὲν οὕτω πολυτελῶς παρασκευασθείη ἂν ὥσθ' ἡδὺ εἶναι. Ξε. Κυ. 7, 5, 80. — Δρῶντας ἢ μὴ δρῶντας ἥδιον θανεῖν. Εὐ. Ἑλ. 814. Αἴσχιον ἔχοντας ἀφαιρεθῆναι ἢ κτωμένους ἀτυχῆσαι. Θ. 2, 62, 5. Οὐ δεῖ φιλεῖν ὡς μισήσοντας ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντας. Ἀρλ. ῥητ. 2, 21. — Σωκράτης παρεκάλει ἐπιμελεῖσθαι τοῦ ὡς φρονιμώτατον εἶναι. Ξε. ἀπ. 1, 2, 55. Λυσιτελεῖ τὸ ἑκόντας ποιεῖν τὰ δέοντα. Δη. 8, 48. Τὸ ἁμαρτάνειν ἀνθρώπους ὄντας οὐδὲν οἶομαι θαυμαστόν. Ξε. Κυ. 5, 4, 19. — Ἐν Λακεδαίμονί ἐστι τῆς ἀρετῆς ἄθλον τῆς πολιτείας κυρίῳ εἶναι μετὰ τῶν ὁμοίων. Δη. 20, 107. Λυσιτελεῖ ὑπομεῖναι τὴν ἀλγηδόνα καὶ ὀγιεῖ (ὑγιᾶ) εἶναι. Πλ. Γο. 478. Εἰ ἦν κλαίουσιν ἰᾶσθαι κακά, ὁ χρυσὸς ἦσσον κτῆμα τοῦ κλαίειν ἂν ἦν. Σο. Σκύ. 501.

A. 7. Der Accuſativ iſt bei dem Infinitiv auch ſtatt des Ge. und beſonders ſtatt des Da. bei demſelben zuläſſig, und zwar ſowohl als Subjects- wie als Prädicatsaccuſativ, dieſer nicht bloß in allgemeinen Sätzen der Art A. 6, ſondern ohne Anſtoß auch auf einen da ſtehenden (Ge. oder) Da. bezogen. Unzuläſſig jedoch wäre der Ac. z. B. in der letzten Stelle A. 5, wo εἶναι bloß Copula und προθύμων Prädicat iſt. Vgl. Lobeck zu Soph. Ai. 1006. Andere, auch appoſitive Beiſpiele im Index zu Xe. An. unter Accuſativ. [Hermann zu So. OK. 1436. vgl. Elmsley zu Eu. Med. 727. 1207.] Οὐκ ἔστιν ἄνευ φιλοτιμίας οὔτε πόλιν οὔτε ἰδιώτην μεγάλα καὶ καλὰ ἔργα ἐργάζεσθαι. Πλ. συ. 178. Σώφρων ἐστὶν ὅτ' αὐτὸν οὐκ ἔξεστιν ἀσελγαίνειν. Λυ. 26, 5. Περιειστήκει τοῖς βοηθείας δεήσεσθαι δοκοῦσιν αὐτοὺς βοηθεῖν ἕτερος. Δη. 18, 218. — Ζῆν ἡδέως οὐκ ἔστιν ἀργὸν καὶ κακόν. Μέ. 201. Ἔστιν ἐλευθερίους εἶναι καὶ ἄνευ χρυσίου. Ξε. Κυ. 5, 3, 3. Οὐκ ἔστιν ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσασθαι. Δη. 2, 10. — Ἔστιν οὐδέποτε μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μικρὰ καὶ φαῦλα πράττοντας. Δη. 3, 32. — Τί δὴ βροτοῖσιν οὐκ ἔστιν τόδε, νέους δὶς εἶναι καὶ γέροντας αὖ πάλιν; Εὐ. Ἱπ. 1080. Ἔξεστιν ὑμῖν καὶ πρόσθεν φίλοις οὖσι τῇ πόλει ἡμῶν εὐεργέτας φανῆναι τῶν Λακεδαιμονίων. Ξε. Ἑλ. 4, 8, 4. — Συμφέρει αὐτοῖς φίλους εἶναι μᾶλλον ἢ πολεμίους. Ξε. οἰκ. 11, 23. — Τῷ κοσμίῳ προσετέτακτο αὐτοκράτορα εἶναι τῆς αὐτοῦ πορείας. Πλ. πολιτ. 274. — Ψυχῇ οὐκ ἐγχωρεῖ κακὴν γενομένην εὖ τι θεραπεύειν. Πλ. πολ. 408. Σοὶ συγγνώμη λέγειν τάδ' ἐστὶ μὴ πάσχουσαν ὡς ἐγὼ κακῶς. Εὐ. Μήδ. 815. — Τῶν αὐτῶν ἐστὶν αὐτούς τε πάντα τὰ κακὰ ἐργάζεσθαι

καὶ τοὺς τοιούτους ἐπαινεῖν. Λυ. 12, 41. Διαθρυπτόμενος ὑπὸ τῶν δεομένων μου προστάτην γενέσθαι ἐδεξάμην τὴν στρατηγίαν. Ξε. Κυ. 7, 2, 23.

II. Infinitiv als Subject und Object.

3. Das Verhältniß des Infinitivs ohne Artikel (mit oder ohne Subject und Prädicat) ist das eines Nom. oder Acc. Vgl. § 50, 6.

A. 1. Wie der deutsche Infinitiv mit zu, erscheint der griechische als Subject prädicativ gebrauchter Substantive und prädicativer Neutra von Adjectiven bei der (oft zu ergänzenden) Copula ἐστίν (vgl. § 50, 6, 4); als Subject auch der gew. sog. Impersonalien, so wie bei Passiven bei deren Activen er als Acc. eintritt. S. 4 A. 2. Auch kann er zu einem ihn ankündigenden Pronomen, wie zu οὗτος, bloß als Apposition hinzugefügt sein. S. § 57, 10, 7. Wenn er sein eigenes Subject (im Acc.) hat, ist er durch daß ich, du ꝛc. zu übersetzen; wenn als solches τινά oder τινάς bei Allgemeinheit des Satzes (2 A. 6) zu ergänzen ist, durch daß man. Ἔργον εὑρεῖν σοφὸν πέντητός ἐστιν. Mé. 7. Ξένον προτιμᾶν μᾶλλον ἀνθρώποις ἔθος. Mé. μο. 686. Ἐν Πέρσαις νόμος ἐστὶν οὗτος συγγενεῖς φιλεῖν. Ξε. Κυ. 1, 4, 28. Πανταχοῦ ἐν τῇ Ἑλλάδι νόμος κεῖται τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν. Ξε. ἀπ. 4, 4, 16. Τοῖς τυράννοις ἔθος καθέστηκε τοῖς τῶν ἄλλων πόνοις καὶ κακοῖς αὑτοῖς ἡδονὰς παρασκευάζειν. Ἰσ. 8, 91. — Φύσιν πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον. Mé. μο. 531. Χαλεπὸν οὕτω τι ποιῆσαι ὥστε μηδὲν ἁμαρτεῖν. Ξε. ἀπ. 2, 8, 5. Οὐχ οἷόν τε ἄνευ δικαιοσύνης ἀγαθὸν πολίτην γενέσθαι. Ξε. ἀπ. 4, 2, 11. Βαρβάρων Ἕλληνας ἄρχειν εἰκός. Εὐ. Ἰφ. A. 1400.

Οὐκ ἔστιν εὑρεῖν βίον ἅλυπον οὐδενί. Εὐ. ἀπ. ἄδ. 52. Μόνῳ ἰατρῷ τοῦτο καὶ συνηγόρῳ ἔξεστ', ἀποκτείνειν μὲν ἀποθνήσκειν δὲ μή. Φιλή. νεώ. 3. Οὐκ ἔνι αὐτὸν ἀργοῦντα οὐδὲ τοῖς φίλοις ἐπιτάττειν ὑπὲρ αὐτοῦ τι ποιεῖν, μή τι γε δὴ τοῖς θεοῖς. Δη. 2, 23. Ἡδύ γ' ἀποθνήσκειν ὅτῳ ζῆν μὴ πάρεσθ' ὡς βούλεται. Mé. 767. [zu Xe. An. 3, 4, 39.] Ἐνδέχεται σωφρονήσαντα πρόσθεν αὖθις μὴ σωφρονεῖν. Ξε. ἀπ. 1, 2, 23. Οὐκ ἔστιν ὦ μάταιε σὺν ῥᾳθυμίᾳ τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν. Φιλίσκος 2. — Πολλοῖς οὐκ ἤρκεσε αὐτοῖς τὸ μέρος ἔχουσι ζῆν ἡδέως. Ξε. Κυ. 1, 6, 45. Οὐ λυσιτελεῖ μετὰ μοχθηρίας σώματος ζῆν ἀνθρώπῳ. Πλ. Γο. 505. Οὐ ξυμφέρει τοῖς ἄρχουσι φρονήματα μεγάλα ἐγγίγνεσθαι τῶν ἀρχομένων. Πλ. συ. 182. Τί δοῦλον ἢ ἐλεύθερον εἶναι διαφέρει; Δη. 22, 55. Οὐ πᾶν ἀναπτόξαι πρέπει πρὸς φῶς. Σο. Ἠλ. 639. Κτᾶσθαί τι ἀγαθὸν καὶ πόλεσι καὶ ἰδιώταις προσήκει. Ξε. Ἑλ. 6, 5, 40. Οὐ δήπου τὸν ἄρχοντα τῶν ἀρχομένων πονηρότερον προσήκει εἶναι. Ξε. Κυ. 7, 5, 83. Γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν. Mé. μο. 96. Φρονεῖν θνητὸν ὄντ' οὐ χρὴ μέγα. Εὐ. Ἀλκμαίων 11. Οὐδέποτ' ἀθυμεῖν τὸν κακῶς πράττοντα δεῖ. Ἀπολλόδ. 9. — Τῷ Κύρῳ ἐγένετο ὀλίγοις διαλεγομένῳ μηδὲν τῶν οἰκείων ἀτιμελήτως ἔχειν. Ξε. Κυ. 8, 1, 15. Ἐάν ποτέ σοι συμβῇ κινδυνεύειν, ζήτει τὴν ἐκ τοῦ πολέμου σωτηρίαν μετὰ καλῆς δόξης. Ἰσ. 1, 43. Συμβαίνει βελτίονος εἰρήνης τυγχάνειν τοὺς πολεμικῶς διακειμένους τῶν ῥᾳδίως τὰς ὁμολογίας ποιουμένων. Ἰσ. 6, 39. (Κάθαρσις συμβαίνει εἶναι τὸ χωρίζειν ὅτι μάλιστα ἀπὸ τοῦ σώματος τὴν ψυχήν. Πλ. Φαίδ. 107. Ueber ὑπάρχειν z. Th. 5, 9, 7 vgl. § 55, 2, 5; über den Acc. u. Da. bei ἐνδέχεσθαι zu Th. 8, 27, 3.)

A. 2. Von einigen der hieher gehörigen Verben finden sich auch Participia mit dem Infinitiv, sowohl des Activs als des Passivs, welcher Sprachgebrauch jedoch sich dem A. 8 erwähnten anschließt. Οὐδὲν τῶν ἐνόντων εἰπεῖν παρέλιπον. Αἰ. 2. 38. Τῶν ἐνόντων ἀξίως ῥηθῆναι ἐν τῷ πράγματι οὐδὲν παραλέλοιπεν. Πλ. Φαίδ. 235. — Εἰσὶ φύσεις ἀνθρώπων πολὺ διαφέρουσαι ὀφθῆναι ἀλλήλων τὰ περὶ τὴν ἡλικίαν. Αἰ. 1, 49. — Ἐγὼ ἡγησάμην ἂν γενέσθαι ταύτην καλλίστην δωρεὰν καὶ μάλιστα πρέπουσαν ἐμοί τε δοῦναι καὶ σοὶ λαβεῖν. Ἰσ. 2, 2. Μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα· στιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων. Σο. Τυρώ 585. Λόγον ἄκουσόν τινα προσήκοντα περὶ πάντων τῶν τοιούτων ῥηθῆναι. Πλ. πολιτ. 283. [Οὐ προσήκομεν κολάζειν τοῖσδε, Φωκέων δὲ χῆ. Εὐ. Ὀρ. 771.]

A. 3. Entsprechend dem Falle A. 1 haben den Infinitiv als Acc. Begriffe die eine Qualification zu der Handlung bezeichnen, Verba wie Adjective, ja selbst Substantive mit Verben. Vgl. § 50, 6, 4—6. Τὸ ψεῦδος οὐ δύνασαι ἀληθὲς ποιεῖν. Ξε. οἰκ. 11, 25. Αὐτὸς εὑρεῖν τὴν τέχνην ἀδυνατῶ. Πλ. Λαχ. 186. Ἡ ἐμπειρία ἔχει τι δεῖξαι τῶν νέων σοφώτερον. Εὐ. Φοί. 529. Ἀληθινὸς ἄρχων οὐ πέφυκε τὸ αὑτῷ συμφέρον σκοπεῖσθαι. Πλ. πολ. 347. Τὰς ὁμοιότητας πανταχοῦ ὁ τὴν ἀλήθειαν εἰδὼς κάλλιστα ἐπίσταται εὑρίσκειν. Πλ. νό. 741. — Ἀνάγκην οὐδὲ θεὸς εἶναι λέγεται δυνατὸς βιάζεσθαι. Πλ. Φαίδ. 273. Ἀγαθὸν ὄντα διαφερόντως καὶ πλούσιον εἶναι διαφερόντως ἀδύνατον. Πλ. νό. 743. Οἱ ἄδικοι οὐδὲν πράττειν μετ' ἀλλήλων οἷοί τε. Πλ. πολ. 352. Δύο τέχνας ἀκριβῶς διαπονεῖσθαι σχεδὸν οὐδεμία φύσις ἱκανὴ τῶν ἀνθρωπίνων. Πλ. νό. 846. Δειναὶ μὲν αἱ γυναῖκες εὑρίσκειν τέχνας. Εὐ. Ἰφ. T. 1032. Χρήματα πορίζειν εὐπορώτατον γονῆ. Ἀρ. ἐκ. 236. Σοφώτεροι δὴ συμφορᾶς τὰς τῶν πέλας πάντες διαιρεῖν ἢ τύχας τὰς οἴκοθεν. Εὐ. Ἀλκμή. 13. Ἐπιστήμων [ἐστὶ] λέγειν τε καὶ σιγᾶν πρὸς οὓς δεῖ. Πλ. Φαίδ. 276. — Ἀγαθοὶ ἐσμεν τὸ κακὸν ἐφ' ἑτέρων ἰδεῖν· αὐτοὶ δ' ὅταν ποιῶμεν, οὐ γιγνώσκομεν. Σωστράτης Στ. 23, 2. Τἄλλα εὑρήσεις ὑπουργεῖν ὄντας ἡμᾶς οὐ κακούς. Ἀρ. εἰρ. 430. Γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ ῥηθέντα. Δη. 3, 15. Φρονεῖν οἱ ταχεῖς οὐκ ἀσφαλεῖς. Σο. OT. 617. Ἀφορμὰς τοῖς λόγοισιν ἀγαθοὶ ἔχουσι, κἂν τις ᾖ βραδὺς λέγειν. Εὐ. Ἡρ. μ. 236. — Οὐ μάντις εἰμὶ τἀφανῆ γνῶναι σαφῶς. Εὐ. Ἰπ. 346. Οἱ παῖδες ἡλικίαν ἔχουσι παιδεύεσθαι. Πλ. Λάχ. 187. [z. Th. 2, 44, 2.]

A. 4. Verwandt ist der Inf. bei ὀλίγου δέω ꝛc. § 47, 16, 2. 3 u. ä. Begriffen, wie auch bei ἀμελῶ, wo er gew. τοῦ zugefügt hat, und bei κινδυνεύω. Σμικροῦ τινος ἐνδεής εἰμι πάντ' ἔχειν. Πλ. Πρω. 329. Οὐκ ἀπορῶ εἰπεῖν πολλά. Δη. 23, 111. Διδάσκεις ἃ οὐκ οἶσθα, ἀμελήσας μανθάνειν. Πλ. Ἀλκ. α, 113. — Σωκράτης ἐπὶ Δηλίῳ ἐκινδύνευεν ἀποθανεῖν. Πλ. ἀπ. 28. Κινδυνεύει τὸ λίαν εὐτυχεῖν ἐνίοτε ἐπαχθεῖς ποιεῖν. Δη. 21, 205. [Vgl. z. Her. 7, 9, 2.]

A. 5. Eigenthümlich haben auch οἷος und ὅσος selbst mit ihren Demonstrativen verbunden (und assimilirt) den Inf. bei sich, indem jenes gleichsam geeigenschaftet, dieses zureichend bedeutet. [zu Xe. An. 2, 3, 13.] Ἐγὼ ἀεὶ τοιοῦτος οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ. Πλ. Κρίτ. 46. Καλὸν ἡ ἐπιστήμη καὶ οἷον ἄρχειν τοῦ ἀνθρώπου. Πλ. Πρω. 352. Οἱ θεοὶ γλῶτταν μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν οἵαν ἄλλοτε ἀλλαχῇ ψαύουσαν τοῦ στόματος ἀρθροῦν τὴν φωνὴν καὶ σημαίνειν πάντα ἀλλήλοις ἃ βουλόμεθα. Ξε. 1, 4, 12. Οἱ πολλοὶ λόγων καλῶν τε καὶ ἐλευθέρων οὐχ ἱκανῶς ἐπήκοοι γεγόνασιν οἵων ζητεῖν τὸ ἀληθές. Πλ. πολ. 499. — Δοκεῖ τοσοῦτον χωρίον κατασχεῖν ὅσον ἔξω τοὺς ἐσχάτους γενέσθαι τῶν πολεμίων κεράτων. Ξε. ἀν. 4, 8, 12. Ἐνέμοντο τὰ αὑτῶν ἕκαστοι ὅσον ἀποζῆν. Θ. 1, 2, 1. [Vgl. z. Th. 6, 25. 2.]

A. 6. Eben so steht der Inf. bei ὥστε daß und ἐφ' ᾧ (so v. a. ἐπὶ τούτῳ ἐφ' ᾧ), ἐφ' ᾧτε unter der Bedingung daß —; (doch auch der Ind. Fu. bei Her. (3, 83, 2. 6, 65, 1. 7, 153, 2) und Thuk. (1, 103, 1. 113, 2. 126, 6. 4, 30, 3 vgl. § 65, 3, 3). Ἀργύριον οὐδείς πω οὕτω πολὺ ἐκτήσατο ὥστε μὴ ἔτι προσδεῖσθαι. Ξε. π. πό. 4, 7. Πῶς ἂν οὗτος ἐθέλοι τὰ ἀλλότρια ἀποστερεῖν ἐφ' ᾧ κακόδοξος εἶναι; Ξε. Ἀγ. 4, 1. (Ἀφίεμέν σε ἐπὶ τούτῳ ἐφ' ᾧτε μηκέτι φιλοσοφεῖν. Πλ. ἀπ. 29.)

A. 7. Der Infinitiv bei Adjectiven bezeichnet auch eine Handlung rücksichtlich der das Prädicat dem Subject beigelegt wird, dem lateinischen Supinum

auf u entſprechend. Wir ſprechen z. Th. eben ſo wie die Griechen, z. Th. nehmen wir eine unperſönliche Ausdrucksweiſe: ἡ ὁδὸς ἀμηχανός ἐστιν ἐξελθεῖν ես iſt unmöglich auf dem Wege einzudringen. [zu ἔε. Απ. 1, 2, 21 u. zu Arr. 1, 29, 2 lat. A.] Ἔστι σοι δυνατὴ γενέσθαι πόλις εὖ οἰκουμένη. Πλ. πολ. 521. (Ἠγήσατο δυνατὴν καὶ ὑποζυγίοις πορεύεσθαι ὁδόν. Ξε. ἀν. 4, 1, 24.) Εἰσὶν ἔνιαι τῶν ἀποκρίσεων ἀναγκαῖαι διὰ μακρῶν τοὺς λόγους ποιεῖσθαι. Πλ. Γο. 449. Ὦ πλοῦθ' ὅσῳ μὲν ῥᾷστον εἰ βάρος φέρειν. Εὐ. Πλείσθ, 3. Ἡ εὐκλεια ὅσῳ ἂν πλείων ᾖ, τοσούτῳ κουφοτέρα φέρειν γίγνεται. Ξε. Κυ. 8, 2, 22. Ἀκολασία καὶ ἀδικία ἡδὺ καὶ εὐπετὲς κτήσασθαι. Πλ. πολ. 364. Χαλεπαὶ αἱ ὁμέτεραι φύσεις ἄρξαι. Θ. 7, 14, 1. Μοναρχία ἄνομος χαλεπὴ καὶ βαρυτάτη ξυνοικῆσαι. Πλ. πολιτ. 302. Ἡ αἰτία ἀπορωτάτη ἐστὶν ἀποδεῖξαι. Λυ. 7, 2. — Ἐγώ σε ἐπαναθεασόμενος ᾖα ὁποῖός ποτε φαίνῃ ἰδεῖν ὁ τοιαύτην ψυχὴν ἔχων. Ξε. Κυ. 5, 4, 11. Τεταγμένη στρατιὰ κάλλιστον μὲν ἰδεῖν τοῖς φίλοις, δυσχερέστατον δὲ τοῖς πολεμίοις. Ξε. οἰκ. 8, 6. Πείθου· προνοίας οὐδὲν ἀνθρώποις ἔφυ κέρδος λαβεῖν ἄμεινον οὐδὲ νοῦ σοφοῦ. Σο. Ἠλ. 1015. Ἡ ὁδὸς ἡ εἰς ἄστυ ἐπιτηδεία πορευομένοις καὶ λέγειν καὶ ἀκούειν. Πλ. σο. 173. — Εἰσὶν ἐν τοῖς πολλοῖς ἄνθρωποι ἀεὶ θεῖοί τινες οὐ πολλοί, παντὸς δ' ἄξιοι ξυγγίγνεσθαι. Πλ. νό. 951. Ὁ Θεμιστοκλῆς μᾶλλον ἑτέρου ἄξιος θαυμάσαι. Θ. 1, 138, 3. — Τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν. Εὐ. Ἰφ. Α. 1250. Τὸν Φίλιππον εὐτυχοῦντα ὁρῶν ταύτῃ φοβερὸν προσπολεμῆσαι νομίζω. Δη. 2, 22. Ἐρῶ λόγον οὐκ ἄφοβον εἰπεῖν. Πλ. νο. 797.

(A. 8. In ſolchen Verbindungen gebrauchen die Attiker in der Regel (auch bei paſſiver Bedeutung) nur Infinitive von Activen und Neutren; doch nicht ganz ohne Ausnahmen. Δεινὸς ὁ οἶνος καὶ παλαίεσθαι βαρύς. Εὐ. Κυ. 678. Ὁ μὲν ἀποδιδράσκων κατανοῆσαι χαλεπός, ὁ δέ γε φιλόσοφος οὐδαμῶς εὐπετὴς ὀφθῆναι. Πλ. σο. 254. Ποιήσομαι τὴν ἀρχὴν τῶν λεχθησομένων ἀκοῦσαι μὲν ἴσως τισὶν ἀηδῆ, ῥηθῆναι δ' οὐκ ἀσύμφορον. Ἰσ. 12, 156. Οἱ ἱππεῖς ἄξιοί εἰσιν εὐλογεῖσθαι. Ἀρ. ἱπ. 596.)

(A. 9. Aehnlich erſcheint der Inf. auch bei Adverbien und ſelbſt bei Subſtantiven. Ueber die Participia A. 2. Τοῖς μὲν εὖνοις κάλλιστα ἰδεῖν ποιεῖται τὴν ἐξέτασιν, τοῖς δὲ δυσμενέσι φοβερώτατα. Ξε. Κυ. 8, 3, 5. Θαῦμα καὶ ἀκοῦσαι. Πλ. νό. 656. [Ἀγγέλλεις δείματ' ἀκούειν. Εὐ. Ῥῆσ. 54.])

A. 10. Aehnlich dem Falle A. 7 ſtehen auch δίκαιος, ἐπικαίριος, ἐπιτήδειος, ἐπίδοξος perſönlich gebraucht mit dem Inf. Ὁ παθὼν πανταχοῦ βοηθείας δίκαιός ἐστι τυγχάνειν. Δη. 21, 43. Ἡ δωρεὰ χάριτος καὶ ἐπαίνου δικαία ἐστὶ τυγχάνειν. Δη. 18, 113. Ὁπότε τις ἀσθενήσειε τῶν θεραπεύεσθαι ἐπικαιρίων, ἐπεσκόπει. Ξε. Κυ. 8, 2, 25. Ἄνδρας τινὰς ἀπέκτειναν οὐ πολλοὺς οἳ ἐδόκουν ἐπιτήδειοι εἶναι ὑπεξαιρεθῆναι. Θ. 8, 70, 2. Ἐπίδοξος ἡ δυσπραγία μεταβάλλειν ἐστὶν αὐτῶν. Ἀντ. 2, δ, 9.

A. 11. Wie bei Begriffen der Qualification erſcheint der Inf. auch bei den verwandten des Lehrens und Lernens (vgl. § 56, 7, 9), des Uebens und Gewöhnens; des Nöthigens und Bewirkens; des Vorhabens (§ 53, 8), Anfangens (§ 56, 5, 1), Verſuchens, Rüſtens [z. Th. 7, 35, 1], Gewährens u. ä. ſo wie bei ihren Gegentheilen. Χρὴ μὴ πρότερον τὰ πολιτικὰ διδάσκειν τοὺς σφετέρους ἢ σωφρονεῖν. Ξε. ἀπ. 1, 2, 17. (Γνώσει διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν. Αἰσ. Ἀγ. 1425. Μὴ δίδασκε τὰ κακὰ φαίνεσθαι καλά. Εὐ. Ἀνδρομέδα 8. Ὁ παιδεύων λέγειν τε ἃ δεῖ καὶ πράττειν δικαίως ἂν τιμῷτο. Ξε. σο. 8, 23. Τὴν τῶν κρατούντων μάθε φέρειν ἐξουσίαν. Μέ. μο. 727. Οἱ ὀρθῶς φιλοσοφοῦντες ἀποθνήσκειν μελετῶσιν. Πλ. Φαίδ. 67. Χρὴ εὐθὺς ἐκ νέου ἐθίζειν αὐτὸν τοῖς αὐτοῖς χαίρειν καὶ ἄχθεσθαι τῷ δεσπότῃ. Πλ. Γο. 510. Γυναῖκές ἐσμεν, ἐξαπατᾶν εἰθισμέναι. Ἀρ. ἐκ. 238. Εἰώθασιν οἱ ἄνθρωποι οὐ ἐπιθυμοῦσιν ἐλπίδι ἀπερισκέπτῳ διδόναι. Θ. 4, 108, 3. Νομίζεις τοῖς ἀσθενεστέροις πᾶσι μείω προστάττειν πράγματα. Ξε. οἰκ. 17, 11. Παρὰ πᾶσιν ἀνθρώποις

νομίζεται τὸν πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ ἔργου καὶ λόγου. Ξε. ἀπ. 2, 3, 15. Αἱ ἐπιφάνειαι καὶ λαμπρότητες οὐκ ἐκ τῆς ἡσυχίας, ἀλλ' ἐκ τῶν ἀγώνων φιλοῦσι γίγνεσθαι. Ἰσ. 6, 104.

Ὅσα τύραννος μὴ πείσας τοὺς πολίτας ἀναγκάζει ποιεῖν γράφων ἀνομία ἐστίν. Ξε. ἀπ. 1, 2, 44. Ψυχὴν βιάζου τἀμὰ συμφέρειν κακά. Εὐ. Ἡρ. μ. 1366. — Τοῖς φίλοις αἰεὶ ὀφείλειν τοὺς φίλους ἀγαθὸν μέν τι δρᾶν, κακὸν δὲ μηδέν. Πλ. πολ. 332. Δράσαντι καὶ παθεῖν ὀφείλεται. Μέ. μο. 69. — Ἡ ἐγκράτεια πάντων μάλιστα ἥδεσθαι ποιεῖ. Ξε. ἀπ. 4, 5, 9. Ἡ κατὰ μικρὸν παράλλαξις πᾶσαν ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς. Ξε. Κυ. 6, 2, 29. [Mit ὥστε zu ἔε. Απ. 1, 6, 2 vgl. zu 4, 2, 23.] Τί ἐστι τὸ ἀπεργαζόμενον ὀρθῶς χρῆσθαι ἢ ἐπιστήμη; Πλ. Εὐθύδ. 281. Ὁ Ἀνταλκίδας κατέβη διαπεπραγμένος ξυμμαχεῖν βασιλέα. Ξε. Ἑλ. 5, 1, 25.

— Πλούτῳ πεποιθὼς ἄδικα μὴ πειρῶ ποιεῖν. Μέ. μο. 702. Ὅταν μετὰ τοῦ σώματος ἐπιχειρῇ τι σκοπεῖν, δῆλον ὅτι ἐξαπατᾶται ὑπ' αὐτοῦ. Πλ. Φαίδ. 65. Γοργίας ἐτόλμησε λέγειν ὡς οὐδὲν τῶν ὄντων ἔστιν. Ἰσ. 10, 3. — Τί τοὺς θανόντας οὐκ ἐᾷς τεθνηκέναι; Εὐ. Μελα. 8. Οὐ δεῖ τοῖς ποιηταῖς ἐπιτρέπειν ποιεῖν ὅ, τι ἂν αὐτοῖς ᾖ φίλον. Πλ. πολ. 719. Συγχωρῶ τοὺς ἐπαίνους παρὰ τῶν ἐλευθερωτάτων ἡδίστους εἶναι. Ξε. Ἱέρ. 1, 16. Δόξας πάρες ἄλλοις ἐπαινεῖν. Πλ. πολ. 367. Οὐδενὶ ἀνθρώπων ὀφείμην ἂν οὔτε βέλτιον οὔτε ἥδιον ἐμοῦ βεβιωκέναι. Ξε. ἀπ. 4, 8, 6. Γυναικὶ ἄρχειν οὐ δίδωσιν ἡ φύσις. Μέ. μο. 100. — Οὗτοι φθονῶ σοι δαιμόνων τιμᾶν γένος. Αἰσχ. ἑπ. 236. [Ueber ἐπιμελεῖσθαι mit dem Inf. z. Th. 6, 54, 6.]

A. 12. Eben ſo ſteht der Inf. bei den Begriffen des Antreibens und Auffordern vgl. § 48, 7, 15, des Bittens vgl. § 47, 16, 7 u. 48, 7, 15 und Bedürfens vgl. § 47, 16, des Feſtſetzens, Beſtimmens und manchen andern ähnlicher Bedeutung. Τοὺς ἐρῶντας αὐτὸς ἵμερος δρᾶν καὶ τὸ μὴ δρᾶν πολλάκις προΐσταται. Σο. Ἀχ. ἐρ. 162. Σωκράτης προέτρεπε τοὺς συνόντας ἀσκεῖν ἐγκράτειαν. Ξε. ἀπ. 2, 1, 1. Πῶς ἂν αὐτοὺς προτρεψαίμεθα πάλιν ἀνερασθῆναι τῆς παλαιᾶς ἀρετῆς; Ξε. ἀπ. 3, 5, 7. Ἡ ἀκμὴ τῆς ῥώμης ἐπαίρει τῷ θυμῷ χαρίζεσθαι. Ἀντ. 4, γ, 2. Φιλοτιμία οὐχ ἥκιστα παροξύνει κινδυνεύειν ὑπὲρ εὐδοξίας τε καὶ πατρίδος. Ξε. ἀπ. 3, 5, 3. — Τοὺς τὰς πολιτείας καταλύοντας καὶ μεθιστάντας εἰς ὀλιγαρχίαν κοινοὺς ἐχθροὺς παραινῶ νομίζειν πάντων τῶν ἐλευθερίας ἐπιθυμούντων. Δη. 15, 20. Ὑμῖν ὦ ἄνδρες συμβουλεύω ἐγὼ γνῶναι ὑμᾶς αὐτούς. Ξε. Ἑλ. 2, 4, 40. Μόγις ὑμᾶς προὐκαλεσάμην σπουδάζειν. Πλ. Εὐθ. 294. Παρακελευόμεθα τῷ νεανίσκῳ σοφίαν τε καὶ ἀρετὴν ἀσκεῖν. Πλ. Εὐθ. 283. Πολλὰ διεκελευόμην αὐτῷ οὕτω ποιεῖν. Ξε. Κυ. 7, 3, 10. Οἱ νόμοι παραγγέλλουσι τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν. Πλ. Κρίτ. 50. Αἱ ἡδοναὶ πείθουσι τὴν ψυχὴν μὴ σωφρονεῖν. Ξε. ἀπ. 1, 2, 23. — Ἱκετεύειν δεῖ τοὺς θεοὺς δεσποτῶν ἀγαθῶν τυχεῖν. Ξε. ἀπ. 1, 5, 5. Πάντες αἰτοῦνται τοὺς θεοὺς τὰ μὲν φαῦλα ἀποτρέπειν, τἀγαθὰ δὲ διδόναι. Ξε. συ. 4, 48. (Ἄσκει μὲν ἀρετήν, εὐτυχεῖν δ' αἴτει θεούς. Καρκ. Στ. 103, 3.) Ἂν σωφρονῇς, τοὺς θεοὺς παραιτήσῃ συγγνώμονάς σοι εἶναι. Ξε. ἀπ. 2, 2, 14. Οὐκ ἔστι πόλις οὐδεμία ἥτις οὐ δεῖται εἰσάγεσθαί τι ἢ ἐξάγεσθαι. Ξε. Ἀθ. π. 2, 3. — Λυκοῦργος σωμασκεῖν ἔταξεν οὐδὲν ἧττον τὸ θῆλυ τοῦ ἄρρενος φῦλον. Ξε. Λακ. π. 1, 4. Νόμον θὲς τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν κτείνειν ὡς νόσον πόλεως. Πλ. Πρω. 322. Θανεῖν πέπρωται ἅπασιν. Ποθ. Στ. 1, 15.

A. 13. Eine Aufforderung enthalten können auch die Verba der Aeußerung, bei welchen neben dem Inf. (lat. ut) ſowohl der Da. als der Ac. ſtatthaft iſt, mit demſelben Unterſchiede wie bei παραγγέλλειν § 48, 7, 10. [Vgl. Lobeck zu So. Ai. 1006.] Οἱ νόμοι πάντα φιλανθρώπως καὶ δημοτικῶς φράζουσι πράττειν. Δη. 24, 24. — Ἔλεγον ἐγώ σοι μὴ γαμεῖν, ζῆν δ' ἡδέως. Φιλιππίδης 6. Σοὶ δ' εἶπον ὦ παῖ τὰς τύχας ἐκ τῶν πόνων ἡρᾶν. Εὐ. Ἀρχ. 11. Παρὰ Ῥωμαίοις ἀπείρηται γυναιξὶν πίνειν οἶνον. Πολ. 6, 23. — Εἴρηκα ἐγὼ πάντας πείθεσθαί σοι. Ξε. Κυ. 8, 3. 6.

[vgl. Th. 6, 29, 3.] Ἐν τῷ περὶ Μεγαρέων ψηφίσματι εἴρητο αὐτοὺς μὴ χρῆσθαι τῇ Ἀττικῇ ἀγορᾷ. Θ. 1, 139, 2. Ἐν ταῖς σπονδαῖς αὐτονόμους τὰς πόλεις εἶναι γέγραπται. Δη. 15, 26. Τίμησιν ἐμοὶ ἐποίησαν, τοῦ νόμου κειμένου τὸν ἀποκτείναντα ἀνταποθανεῖν. Ἀντ. 5, 10. (Ueber den Inf. bei βοᾶν zu Xe. An. 1, 8, 12, bei κηρύσσειν eb. 4, 1, 13, bei ἀποκρίνεσθαι z. Th. 4, 99, bei ἀνεῖλεν, ἔχρησε zu 1, 103, 2. 126, 2. Ueber den passiven Inf. zu 5, 46, 1.)

A. 14. Dieser Inf. findet sich auch bei Passiven die ein Subject haben. Ἐξῆκεν ὁ χρόνος ὃς ἦν εἰρημένος παραμένειν. Ξε. Ἑλ. 7, 1, 28. Αὐτὸν εὗρεν ἐγγεγραμμένον κτείνειν. Θ. 1, 132, 6. [zu Xe. An. 4, 1, 14, vgl. 1, 3, 20.]

A. 15. Scheinbar findet sich dieser Inf. zuweilen auch bei Verben der Ansicht, am häufigsten bei δοκεῖν, das aber dann eig. gut scheinen bedeutet, wie ἡγεῖσθαι, νομίζειν ꝛc. für recht halten. Δοκεῖ μοι ἄνδρας ἐλθόντας πρὸς Κῦρον ἐρωτᾶν ἐκεῖνον τί βούλεται ἡμῖν χρῆσθαι. Ξε. ἀν. 1, 3, 18. (Πολλάκις Σιμωνίδης ἡγήσατο τύραννον ἐπαινέσαι. Πλ. Πρω. 346. Vgl. Heindorf zu Plat. Prot. 88 u. Lobeck z. Phryn. p. 753.)

A. 16. Nach den Begriffen des Vorsatzes (προαιρετικά) und Strebens (ἐφετικά) findet sich wie der Infinitiv, so erforderlichen Falles auch der Accusativ mit dem Infinitiv. So auch bei αἱρεῖσθαι wählen [z. Th. 6, 80, 5], δέχεσθαι sich gefallen lassen, προσποιεῖσθαι sich stellen als ob. Οἱ ἀγαθοὶ ἐπιπονεῖν ἐθέλουσιν. Ξε. Κυ. 5, 4, 17. Καλῶς ἀκούειν μᾶλλον ἢ πλουτεῖν θέλε. Μέ. μο. 285. Ὅστις πένης ὢν ζῆν ἐν ἄστει βούλεται ἀθυμότερον ἑαυτὸν ποιεῖν ἐπιθυμεῖ. Μέ. 397. Μὴ βούλου περιδεεῖς εἶναι τοὺς μηδὲν ἀδικοῦντας. Ἰσ. 2, 23. Οἱ ἀπιστοῦντες τῇ ἐξ ἑαυτῶν ξυνέσει ἀμαθέστεροι τῶν νόμων ἀξιοῦσιν εἶναι. Θ. 3, 37, 5. Οὐδεὶς ἀνὴρ εὐψυχος ἀξιοῖ λάθρᾳ κτεῖναι τὸν ἐχθρὸν ἀλλ' ἰὼν κατὰ στόμα. Εὐ. Ῥῆσ. 510. Οἱ Ἀθηναῖοι ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι. Θ. 4, 65, 4. Τοὺς ἀναπειθομένους ὑμῶν δικαιῶ τοῖς κοινῇ δόξασι βοηθεῖν. Θ. 1, 140, 2.] Θανεῖν μὲν οὐ χρῄζω, λιπὼν δ' ἂν οὐδὲν ἀχθοίμην βίον. Εὐ. Ἡρ. 1016.

Ὦ φιλόζωοι βροτοί, οἳ τὴν ἐπιστείχουσαν ἡμέραν ἰδεῖν ποθοῦσ' ἔχοντες μυρίων ἄχθος κακῶν. Εὐ. Στ. 121, 12, 6. Οὐ χρὴ πλουτεῖν ζητεῖν τὸν εὐδαίμονα ἐσόμενον. Πλ. νό. 870. Μὴ σπεῦδε πλουτεῖν, μὴ ταχέως πένης γένῃ. Μέ. μο. 358. Σωκράτης μηχανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν. Ξε. ἀπ. 4, 3, 1. Οὐ λόγοισι τὸν βίον σπουδάζομεν λαμπρὸν ποιεῖσθαι μᾶλλον ἢ τοῖς δρωμένοις. Σο. OK. 1143. Οἱ διδάσκαλοι παρατιθέασι τοῖς παισὶν ἐπὶ τῶν βάθρων ἀναγιγνώσκειν ποιητῶν ἀγαθῶν ποιήματα, ἵνα ὀρέγωνται τοιοῦτοι γενέσθαι. Πλ. Φαῖδ. 75. Τύραννον πᾶς ἐφίεται φυγεῖν. Σο. Ἀκρ. 67. Εἶναι τὸ ἀγαθὸν αὐτοῖς ἐρῶσιν. Πλ. συ. 206. Ὁρῶ ὑμᾶς ὡρμημένους στρατεύειν. Θ. 6, 20, 1. (Ἀγωνίσασθε τοῖς Ἕλλησιν ἄρξαι πρῶτοι τῆς ἐλευθερίας. Θ. 3, 40, 1. [zu 3, 38, 2. 8, 89, 4.] Διαμάχομαι μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα. Θ. 4, 87, 4. [vgl. zu 3, 40, 1.] Ἀμφισβητεῖ ἀνὴρ εἶναι. Αἰ. 2, 148. Ἀντιποιεῖται ταῦτα κατὰ πόλεμον λαβὼν εἰκότως ἔχειν. Αἰ. 2, 33.) — Ἑλοίμην (δεξαίμην) ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν. Πλ. Γο. 462. 477. Προαιρεῖσθε τὸ κατεπεῖγον μᾶλλον πράττειν ἢ τῇ γαστρὶ χαρίζεσθαι. Ξε. ἀπ. 2, 1, 2. — Εἰσὶν ἀπατηλοί τινες δέσποιναι προσποιούμεναι ἡδοναὶ εἶναι, κυβεῖαί τε καὶ ἀνωφελεῖς ἀνθρώπων ὁμιλίαι. Ξε. οἰκ. 1, 20.

„Χρύσεα χαλκείων" διαμείβεσθαι νοεῖς. Πλ. συ. 218. Ἐπὶ βλάβῃ τῇ τῶν γυναικῶν τις τυραννεῖν ἐπινοεῖ. Ἀρ. θε. 337. Ὦ Ζεῦ τί δρᾶσαι διανοεῖ με τήμερον; Ἀρ. θε. 71. Ὅστις γαμεῖν βουλεύετ' οὐκ ὀρθῶς βουλεύεται, διότι βουλεύεται χοὔτω (καὶ οὕτω) γαμεῖ. Ἀναξ. 52. Ἐπεβούλευε διαβάλλειν με πρὸς ὑμᾶς. Ξε. ἀν. 5, 6, 29. Γαμεῖν κεκρικότα δεῖ σε γιγνώσκειν ὅτι ἀγαθῶν μεθέξεις, ἂν λάβῃς μικρὸν κακόν. Μέ. 621.

Ἕτοιμός εἰμι ἐπαινεῖν, ἄν τι καλῶς λέγῃς. Πλ. Γο. 510. Οὐδεὶς πώποτε ὦ δέσποτ' ἀπέθαν' ἀποθανεῖν πρόθυμος ὢν· τοὺς γλιχομένους

δὲ ζῆν κατασπᾷ τοῦ σκέλους ἄκοντας ὁ Χάρων. Ἀντιφάνης 86. — Τί ἐν νῷ ἔχεις ποιεῖν; Πλ. Κρίτ. 50. Ἥκω ἐκμαθεῖν σπουδὴν ἔχων εἰ ταῦτ' ἀληθῆ. Εὐ. Ἀνδρ. 1050. Νόμιζε πάσαν με προθυμίαν συνέξειν ταῦτά σοι πραχθῆναι. Ξε. Ἑλ. 5, 4, 27. Πολλὴν πρόνοιαν ἔσχεν εὐσχήμως πεσεῖν. Εὐ. Ἑκ. 569. (Ueber den Inf. bei πείθεσθαι z. Th. 3, 48, bei ἐπιβουλεύειν zu Xe. An. 5, 6, 29.)

A. 17. Ueber den Inf. des Futurs nach diesen Verben § 53, 7, 11.

A. 18. Mit dem Inf. verbunden werden auch die (entgegengesetzten) Begriffe der Furcht wie der Scheu und des sich Hütens, Hinderns, Verschiebens u. ä., in sofern der Begriff der Abgeneigtheit, des Sträubens in ihnen vorherrscht. Vgl. 56, 6, 5. Φοβοῦνται πανταχοῦ λέγειν τὰ μὴ σύμφορα βασιλεῖ. Ξε. Κυ. 8, 2, 12. Δέδοικα περὶ τῶν θεῶν διαλέγεσθαι. Πλ. Κρίτ. 407. [z. Th. 1, 136, 1.] (Τὰς συμφορὰς δὴ τῶν κακῶς πεπραγότων οὐ πώποθ' ὁβριεῖ, αὐτὸς ὀρρωδῶν παθεῖν. Εὐ. Ἀνδρομέ. 19.) Ὀκνῶ προδότης καλεῖσθαι. Σο. Φι. 94. [vgl. Th. 1, 120, 3.] — „Φεύγει οὐδὲ μένει οὐδ' αἰδεῖται κακὸς εἶναι." Πλ. πολ. 566. Πρότου μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε. Αἰσχ. Ἀγ. 1203. Αἰσχύνεται δὲ τἀγάθ' ἀσκήσας ἀνὴρ κακὸς κεκλῆσθαι πᾶς τις. Εὐ. Ἰκ. 912. Τὰ δίκαια πάντες αἰσχύνονται μὴ πράττειν. Δη. 16, 24. Θνητὸς πεφυκὼς μὴ εὐλαβοῦ τεθνηκέναι. Δίφ. 116. — Κακῶς παθεῖν ὑπὸ τῶν κρειττόνων οὐδὲν κωλύει καὶ τοὺς μηδὲν ἐξημαρτηκότας. Ἰσ. 10, 47. (Τοὺς ἱππέας ἐκώλυσε τοῦ καίειν. Ξε. ἀν. 1, 6, 2. vgl. § 47, 13.) Μηδεὶς νόμος ἀπειργέτω ποιεῖσθαι υἱόν. Πλ. νό. 929. Τὸ δαιμόνιόν μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν. Πλ. ἀπ. 31. — Ἀνεβάλλετό μοι διαλεχθῆναι. Ξε. Ἑλ. 1, 6, 10. [Ueber φυλάσσειν μή- z. Th. 3, 23, 1.]

A. 19. Ueber μή nach diesen Begriffen s. § 54, 8, 9—11.

A. 20. In lockerem Verhältnisse bezeichnet der Inf. die Handlung zu deren Behuf die Hauptandlung erfolgt und drückt so mittelbar auch eine beabsichtigte Folge aus: zu, um zu. Vgl. A. 12. So bei Verben die ein anderes Object bei sich haben wie auch bei Passiven und Neutren. Ἡ γῆ ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφει τῷ κρατοῦντι λαμβάνειν. Ξε. οἰκ. 5, 7. Οὐκ ἂν τὸν αὐτοῦ παῖδά τις δοίη κτανεῖν. Εὐ Φοί. 966. [z. Th. 4, 19, 1.] Γοργίας παρέχει ἑαυτὸν ἐρωτᾶν τῶν Ἑλλήνων τῷ βουλομένῳ ὅ, τι ἂν τις βούληται. Πλ. Μέ. 70. Διέλαβον τὸ μέρος ἕκαστος φυλάττειν τοῖς θεοῖς. Ξε. ἀν. 5, 3, 4. Ὅς ἂν ὑμᾶς λάθῃ, τοῦτον ἀφίετε τοῖς θεοῖς κολάζειν. Δη. 19, 71. Τὸ ἥμισυ φυλάττειν κατέλιπε τὸ στρατόπεδον. Ξε. ἀν. 5, 2, 1. Τὴν ἡλικίαν σοῦ περιμένει ὁ πατὴρ ἐπιτρέπειν πάντα. Πλ. Αν. 209. Ἡμᾶς ἔπεμψε τοὺς λόγους ὑμῖν φράσαι. Εὐ. Ἰων 1559. [z. Th. 4, 132, 3, vgl. z. Her. 1, 46, 2.] — Τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν. Δη. 18, 273. Ἄρχοντας εἵλεσθε ἄρχειν μου. Πλ. ἀπ. 28. Νομιοῦσί σε καὶ αὐτὸν καταδικάζειν σαυτοῦ πάντα τὰ ἔσχατα παθεῖν. Ξε. Κυ. 3, 1, 9. — Τοῖς μὲν ἡγεῖσθαι δέδοται, τοῖς δ ἕπεσθαι τέτακται. Ξε. Λακ. π. 11, 6. Δεῖ τοὺς ἄρχειν αἱρεθέντας τῶν κτημάτων τῶν ἰδίων ἀμελεῖν. Ἰσ. 12, 145. Ἡ θύρα ἡ ἐμὴ ἀνέῳκτο τῷ δεομένῳ εἰσιέναι. Ξε. Ἑλ. 5, 1, 14. — Πολλαὶ πέλται ἦσαν φέρεσθαι. Ξε. ἀν. 2, 1, 6. Ἐμοὶ οὐκ ἐθέλει γενέσθαι τὰ ἱερὰ ἐξάγειν. Ξε. ἀν. 6, 4, 36. [z. An 2, 2, 3.] — Ἀκμάζειν ἡγοῦμαι ἐρύκειν ἀπ' ἐμαυτοῦ τὰ κακά. Ξε. ἀν. 3, 1, 25. — Ξυνέβησαν Βυζάντιοι ὑπήκοοι εἶναι. Θ. 1, 117, 3. Ξυνέκειτο αὐτοῖς τῶν πυλῶν ἀνοιχθεισῶν ἐσπίπτειν τοὺς Ἀθηναίους. Θ. 4, 68, 4. [z. Th. 4, 68, 4. Ueber den Inf. nach ἀφικνεῖσθαι ꝛc. z. Th. 1, 128, 2.]

A. 21. In eben dem Verhältnisse steht der Inf. bei den hieher gehörigen Transitiven oft auch da wo zu ihnen ein Object, wie z. B. τί, bloß zu ergänzen ist. Wie man nämlich sagt οἶνον πιεῖν ἔδωκά σοι (Cyr. Kykl. 520) und οἶνον μοι ἐγχεῖς πιεῖν (Ar. Wesp. 616), so auch bloß πιεῖν, φαγεῖν πέμπω (Xen. Kyr. 4, 5, 1 vgl. 7, 1, 1), δίδωμι Ar. Ritter 706, ἐγχέω (eb. 118), λαμβάνω (Eur. Kykl. 561). Διψῶντι πάντα προσφέρων σοφὰ οὐκ ἂν πλέον τέρψειας ἢ

πτεῖν διδούς. Σο. ἀποσ. 702. Πολλάκις οἱ κάμνοντες οὐκ ἐθέλουσι καῦσαι παρασχεῖν τῷ ἰατρῷ. Πλ. Γο. 456. — Ὑπόσχες Σωκράτει ἐξελέγξαι. Πλ. Γο. 497.

III. Der Infinitiv bei Begriffen der Vorstellung und Aeußerung.

4. Bei den Begriffen der Vorstellung und Aeußerung bezeichnet der Inf. zwar etwas Wirkliches, aber nur als subjectiv Aufgefaßtes oder Angenommenes.

A. 1. Wenn das Subject des Inf. mit dem des Hauptſatzes zuſammenfällt, ſo wird es gar nicht oder im No. ausgedrückt; ein etwa zugehöriges Prädicat aber ſteht im Nominativ vgl. § 55, 2, 1; eben ſo appoſitiv zugefügte Begriffe. Wenn das Subject des Inf. ein verſchiedener Begriff iſt, ſo tritt der Ac. mit dem Inf. ein. Nicht geſcheut wurden zwei Accuſative, wenn der Sinn die Zweideutigkeit beſeitigt. Παντάπασιν εἶναι δίκαιος καὶ δοκεῖν εἶναι θέλει. Φιλή. 92, 8. Ἐοίκασιν οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι. Ξε. ἀπ. 4, 3, 12. Πιστεύουσιν ἀλλήλοις μηδὲν αἰσχρὸν προστάττειν τοῖς παισίν. Ξε. Λακ. π. 6, 2. Ἤλπιζε τιμῶν τοὺς γονεῖς πράξειν καλῶς. Μέ. μο. 155. Ὧν γ' ἂν μὴ ὧσι νόμοι, γνώμῃ τῇ δικαιοτάτῃ δικάσειν ὁμωμόκατε. Δη. 39, 40. Προφασίζεται ἀῤῥωστεῖν. Δη. 19, 124. — Δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν. Εὐ. Βάκ. 480. Ἡλίθιός ἐστιν εἴ τις οἴεται διὰ τὸν πλοῦτον μηδὲν ἐπιστάμενος δόξειν τι ἀγαθὸς εἶναι. Ξε. ἀπ. 4, 1, 5. Ὅταν εὐπορῶν τις αἰσχρὰ πράττῃ πράγματα, τί τοῦτον ἀπορήσαντα πράξειν προσδοκᾷς; Στ. 2, 3. (Καταδικάζω ἐμαυτοῦ, εἴ τινος βιαίου ἐξάρχω, τῆς ἐσχάτης δίκης ἄξιος εἶναι. Ξε. ἀν. 6, 4, 15. Κελεύει ἐάν τις κατάγνωσθῇ ἀδικεῖν, ἀποθανεῖν εἰς τὸ βάραθρον ἐμβληθέντα. Ξε. Ἑλ. 1, 7, 20.) Μηδέποτε μηδὲν αἰσχρὸν ποιήσας ἔλπιζε λήσειν. Ἰσ. 1, 16. Βοιωτοὶ ἀπειλοῦσιν αὐτοὶ καθ' ἑαυτοὺς ἐμβαλεῖν εἰς τὴν Ἀττικήν. Ξε. ἀν. 3, 5, 4. — Οὐδένα οἶμαι δαιμόνων εἶναι κακόν. Εὐ. Ἰφ. Τ. 391. Ὅ, τι ἂν ποιῇς νόμιζ' ὁρᾶν θεούς τινας. Γν. 241. Μεγίστην ἡγοῦμαι συμμαχίαν εἶναι καὶ βεβαιοτάτην τὸ τὰ δίκαια πράττειν. Ἰσ. 6, 59. Ἐγὼ ὑπέλαβον χρησίμους εἶναι θεοὺς τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον μόνον. Μέ. 526, 3. Σωκράτης τὸ ἀγνοεῖν ἑαυτὸν ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι. Ξε. ἀπ. 3, 9, 6. — Οὔποτε φήσω γάμον εὐφραίνειν πλέον ἢ λυπεῖν. Εὐ. Ἄλκ. 238. Πρωταγόρας ἔλεγε πάντων χρημάτων μέτρον εἶναι ἄνθρωπον. Πλ. Κρατ. 386. Πάντες ἂν ὁμολογήσαιτε ὁμόνοιαν μέγιστον ἀγαθὸν εἶναι πόλει, στάσιν δὲ πάντων κακῶν αἰτίαν. Λυ. 18, 17. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. Ἰσ. 1, 19. Ἠτιῶντο αὐτοὺς καὶ Κορινθίους πεῖσαι μὴ συστρατεύειν. Ξε. Ἑλ. 3, 5, 5. — Τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω. Αἰσ. χο. 886. [Vgl. Th. 6, 10, 1, Her. 1, 114, 2.]

A. 2. Nach δοκῶ, λέγομαι und dieſem ähnlichen Paſſiven erſcheint der No. mit dem Inf., wenn das Subject, der Ac. mit dem Inf., wenn deſſen Inhalt der Hauptbegriff iſt. Ἔδοξε σκηπτὸς πεσεῖν εἰς τὴν οἰκίαν καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν. Ξε. ἀν. 3, 1, 11. [ζ. Th. 5, 59, 4.] Πρὸς δύο οὐδ' ὁ Ἡρακλῆς λέγεται οἷός τ' εἶναι. Πλ. Φαίδ. 89. Λέγεται καὶ τοὺς θεοὺς ὑπὸ τοῦ Διὸς βασιλεύεσθαι. Ἰσ. 3, 26. Ἥγγελταί γε δεῦρο ἥ τε μάχη πάνυ ἰσχυρὰ γεγονέναι καὶ ἐν αὐτῇ πολλοὺς τῶν γνωρίμων τεθνάναι. Πλ. Χαρ. 153. Ἔρως ὁμολογεῖται παρὰ πάντων μέγας θεὸς εἶναι. Πλ. συ. 202. Ὁμολογεῖται τοὺς ἀπὸ Διὸς εὐγενεστάτους τῶν ἡμιθέων εἶναι. Ἰσ. 9, 13. Κριθέντες μηδὲν συνειδέναι ἀφείθησαν. Ξε. Ἑλ. 5, 4, 23.

A. 3. Die perſönliche Conſtruction, der bloße No. mit einem aus dem

Verbum des Hauptſatzes zu denkenden Inf., iſt bei δοκῶ, ἔοικα, φαίνομαι und Paſſiven, wie λέγομαι, auch in Zwiſchenſätzen mit ὡς üblich. [zu Xe. An. 1, 4, 5 vgl. z. Th. 7, 86, 4.] Κακῶς ἄρ' ὄντως εἶχες, ὡς γ' ἐμοὶ δοκεῖς. Ἀρ. νε. 1271. Ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι. Εὐ. Μηδ. 337. Οὐχ ἕσπου τοῖς λεχθεῖσιν, ὡς φαίνει. Πλ. πολιτ. 280. Οἱ Εὐρυτᾶνες ὠμοφάγοι εἰσίν, ὡς λέγονται. Θ. 3, 94, 4.

A. 4. Zuweilen erſcheinen von Verben der Vorſtellung und Aeußerung Active ohne Inf. bloß mit zwei Accuſativen, wie δοκεῖν und Paſſive bloß mit zwei Nominativen, wobei man ohne Noth εἶναι zu ergänzen pflegt, da jene Verba auch an ſich ein Prädicat einem Subject anfügen können. Νόμιζ' ἀδελφοὺς τοὺς ἀληθινοὺς φίλους. Μέ. μο. 377. [Cobet N. l. p. 519.] Τὸ κέρδος ἡγοῦ κέρδος, ἂν δίκαιον ᾖ. Μέ. μο. 503. Λόγον παρ' ἐχθροῦ μή ποθ' ἡγήσῃ φίλον. Μέ. μο. 325. Ἐγὼ μὲν ἄπιστον καὶ θεοῖς ἐχθρόν, οὐ μόνον ἀνθρώποις, ὑπολαμβάνω τὸν τῶν γονέων ἀμελοῦντα. [Δη. 25, 66.] Τὸ μηδὲν ἀδικεῖν ἐκμαθεῖν ἀστεῖον ἐπιτήδευμα κρίνω τῷ βίῳ. Μέ. p. 97. — Κεφάλαιον παιδείας λέγομεν τὴν ὀρθὴν τροφήν. Πλ. νό. 643. Τοὺς δικαίους τῶν κενῶν δοξασμάτων, κἂν ὦσι δούλων, εὐγενεστέρους λέγω. Εὐ. Μελα. 11. Φασὶν κακίστους οἱ πονηροὶ τοὺς κακούς. Μέ. 737. Τὰς καλὰς πράξεις ἁπάσας ἀγαθὰς ὡμολογήσαμεν. Πλ. Πρω. 359. Τὴν σιγήν σου συγχώρησιν θήσω. Πλ. Κρατ. 435. — Τὴν ἀληθῆ δόξαν ἐπιστήμην ὁρίζει. Πλ. Θε. 187. — Κρεῖσσον οὐδὲν ἀνάγκης εὗρον. Εὐ. Ἄλκ. 965.

(Οἱ τοιοῦτοι δοκοῦσι κακοί. Ξε. οἰκ. 4, 3.) Τὸ θανεῖν κακῶν μέγιστον φάρμακον νομίζεται. Εὐ. Ἡρ. 595. Τὸ θεῖον ὑπολαμβάνεται βοηθεῖν τοῖς ἀδικουμένοις. Ἀρλ. ῥητ. 2, 5 Ε. Κράτιστοι ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. Θ. 2, 40, 3. Ταῦτα διέγνωσται ἄριστα τῶν ἐπιτηδευμάτων ἃ καὶ τοῖς πολλοῖς καὶ τοῖς ὀλίγοις ἁρμόττοντα μάλιστα τυγχάνει καὶ πλείστους ἐπιθυμητὰς ἔχει. Ἀνδ. 4, 6. (Γνωσθέντες ὧν ἐπεθύμουν εἰς ταραχὰς κατέστησαν. Ἰσ. 12, 105.) — Τὸ πάλαι τόραννος ὁ Ἔρως λέγεται. Πλ. πολ. 573. Αἴσχιστον ἀδικία καὶ σύμπασα ψυχῆς πονηρία ὡμολόγηται ἡμῖν. Πλ. πολ. 477. — (Νόσον ψυχῆς ἄνοιαν συγχωρητέον. Πλ. Τι. 86. Ἡδονὰς καὶ λύπας ὑπερβαλλούσας τῶν νόσων μεγίστας θετέον τῇ ψυχῇ. Πλ. Τι. 86.)

A. 5. Auch nach den Verben des Nennens findet ſich beſonders bei Her. und Platon der Ac. mit dem Inf. εἶναι, dieſer für uns pleonaſtiſch. Μάντεις ὀνομάζουσι τοὺς προσημαίνοντας εἶναι. Ξε. ἀπ. 13. Πάσας ἡδονὰς ἀγαθὸν εἶναι προσαγορεύεις. Πλ. Φιλ. 13.

(A. 6. Zuweilen findet ſich auch der Inf. wo eig. ein verbum finitum und das regierende Verbum mit ὡς als Zwiſchenſatz eintreten ſollte. Τοὺς στρατηγούς, οἳ ἐνίκων ναυμαχοῦντες, ὅτι διὰ χειμῶνα οὐχ οἷοί τ' ἔφασαν εἶναι τοὺς ἐκ τῆς θαλάττης ἀνελέσθαι, θανάτῳ ἐζημιώσατε. Λυ. 12, 36.)

(A. 7. Andrerſeits kann ὡς, ὅ mit einem ſolchen Verbum und doch mit Bezug auf daſſelbe ſtatt des Indicativs der Inf. oder ὅτι folgen. Τόδε, ὡς οἶμαι, ἀναγκαιότατον εἶναι λέγειν. Πλ. Φίλ. 20. Παντάπασιν, ὃ καὶ κατ' ἀρχὰς εἴπομεν τοῦδε τοῦ λόγου, ὅτι οὐδὲν ἀληθείας μετέχειν δέοι τὸν μέλλοντα ἱκανῶς ῥητορικὸν ἔσεσθαι. Πλ. Φαῖδ. 272. Κτ. z. Her. 1, 65, 3.)

A. 8. Umgekehrt werden Verba wie δοκεῖν, οἴεσθαι, φάναι ohne ὅτι oder ὡς ſelbſtändigen Sätzen vor-, ein- oder zugefügt. [Ohne Kommata vgl. Th. 2, 54, 2.] Πρὸ τῶν Τρωικῶν οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς, δοκεῖ δέ μοι οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν, ἀλλὰ πρὸ Ἕλληνος οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη. Θ. 1, 3, 1. Ἔλθοις ἂν ἡμῖν πάντα εἰδὼς τὰ τῶν πολεμίων· οἶμαι δὲ καὶ λόγων καὶ βουλευμάτων κοινωνὸν ἄν σε ποιοῦντο. Ξε. Κυ. 6, 1, 40. Οἶδ' ἐγὼ γνώσει κακοῦ θυμοῦ τελευτὴν ὡς κακὴ προσγίγνεται. Σο. ΟΚ. 1197. — Τὰ μὲν ἐκ τοῦ παραχρῆμά μοι δῆγε, τὰ δὲ

πρότερον ἐσκεμμένη, ὅτε μοι δοκεῖ συνετίθη τὸν ἐπιτάφιον λόγον. Πλ. Μενέξ. 236. Κύπρις τοῦτον λαβοῦσα πῶς δοκεῖς καθύβρισεν. Εὐ. Ἱπ. 447. Τίνες φῆς ἦσαν οἱ λόγοι; Πλ. Φαίδ. 59. — Ταύτην πίνειν ἠνάγκαζον οὗτοί μοι δοκεῖ. Δη. 19, 197. Τί ἀπολογησόμεθα φής; Πλ. πολ. 420. [Vgl. Dial. 59, 1, 9. zu Xe. An. 2, 1, 16. 5, 8, 22 u. z. Th. 1, 3, 1.]

A. 9. In obliquer Rede findet ſich zuweilen der Inf. auch nach (den einfachen) Relativen und den Conjunctionen ὡς, (ὥσπερ,) ὅτε, ἐπεί. [Kr. Krit. Anal. 1 S. 156] Οὐκ ἄν ποτε φαίμεν ἀληθείᾳ χρὸν κακὸν ἀκολουθῆσαι, ἀλλ' ὑγιές τε καὶ δίκαιον ἦθος, ᾧ καὶ σωφροσύνην ἕπεσθαι. Πλ. πολ. 490. Ἔφη ἀφικνεῖσθαι τεταρταίους ὄθεν καθορᾶν ἄνωθεν διὰ παντὸς τοῦ οὐρανοῦ καὶ γῆς τεταμένον φῶς εὐθύ. Πλ. πολ. 616. Οἱ Λακεδαιμόνιοι δέκα ἄνδρας Σπαρτιατῶν προσείλοντο βασιλεῖ, ἄνευ ὧν μὴ κύριον εἶναι ἀπάγειν στρατιὰν ἐκ τῆς πόλεως. Θ. 5, 63, 3. — Ὡς ἀκοῦσαι τοὺς παρόντας, θόρυβον γενέσθαι φασίν. Δη. 19, 195. Λέγεται Ἀλκμαίωνι, ὅτε δὴ ἁλᾶσθαι αὐτόν, τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν. Θ. 2, 102, 14. Φασὶν ὑπὸ τῶν ἡδονῶν ἡττᾶσθαι καὶ οὐ πράττειν διὰ ταῦτα τὰ βέλτιστα, ἐπεὶ γιγνώσκειν. Πλ. Πρω. 353. [Ζω. ist εἴ mit dem Inf. z. Th. 4, 98, 3.]

A. 10. Wenn ὅτι und ὡς mit dem Inf. ſtehen, ſo iſt dieſer geſetzt als ob die Conjunction nicht vorherginge, alſo eine Vermiſchung zweier Conſtructionen. Νομίζω ὅτι ὅστις ἐν πολέμῳ ὧν στασιάζει πρὸς τὸν ἄρχοντα, τοῦτον πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν. Ξε. ἀν. 5, 9, 29. Ἐλπίζειν χρὴ ὡς ἄνδρας ἀγαθοὺς μᾶλλον ἢ κακοὺς αὐτοὺς γενήσεσθαι. Ξε. Ἑλ. 6, 5, 42.

A. 11. Nicht ſelten iſt der Inf. auch, beſonders zu den § 56, 3, 1 erwähnten Begriffen, aus dem Vorhergehenden oder wohl auch aus dem Folgenden zu ergänzen; wobei von dem zu ergänzenden Inf. ſelbſt ein Object abhangen kann. [Kr. z. Dion. p. 117 s. u. Reg. z. Th. u. Infinitiv 5.] Μιλτιάδῃ τελευτήσαντι Χερσονησῖται θύουσιν ὡς νόμος οἰκιστῇ. Ἡρ. 6, 38, 1. Ἀνὴρ ἀγαθὸς γίγνου, ὥσπερ σε εἰκός, ὄντα Σπαρτιάτην. Θ. 5, 9, 6. Ἁπλᾶς γε λύπας ἐξὸν (vgl A. 4) οὐκ οἶσω διπλᾶς. Εὐ. Ἰφ. T. 688. Ἃ μὴ προσήκει μήτ' ἄκουε μήθ' ὅρα. Μέ. μο. 39. Οἱ πρόγονοι ἀμφοτέρων περιεγένασιν, ὡς ἑκατέρων προσῆκεν. Λοκ. 70. Πειθώμεθα οἷς ἂν ἡμᾶς καθήκῃ. Ξε. Κυ. 3, 1, 4. Κρεῖττον σιωπᾶν ἐστιν ἢ λαλεῖν ἃ μὴ πρέπει. Μέ. μο. 290. Ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς. Αἰσ. ἀποσ. 271. Οἱ πρόγονοι συμβούλοις ἐχρῶντο τοιούτοις οἷσι χρὴ τοὺς εὖ φρονοῦντας. Ἰσ. 12, 151. — Ἀποκρίνασθε ὅ, τι κάλλιστόν τε καὶ ἄριστον ἔχετε. Ξε. ἀν. 2, 1, 9. Μίαν μὲν ναῦν λαμβάνουσι, τὰς δ' ἄλλας οὐκ ἐδυνήθησαν. Θ. 7, 25, 3. Ταῦτα τὰ ἐρωτικὰ ἴσως κἂν σὺ μυηθείης· τὰ δὲ τέλεα καὶ ἐποπτικὰ οὐκ οἶδ' εἰ οἷός τ' ἂν εἴης. Πλ. συ. 210. — Οἱ Ἀθηναῖοι ἐκκλησίαν ξυνέλεγον ἐς τὴν Πύκνα καλουμένην, ὅπερ καὶ ἄλλοτε εἰώθεσαν. Θ. 8, 97, 1. [vgl. Kr. z. Dem. 4, 1.] Βασιλεὺς τὰ μὲν ἔχει, τὰ δὲ μέλλει. Ἰσ. 4, 136. Ἰφικράτης ὀξέως τὰς ναῦς ἐπληροῦτο καὶ τοὺς τριηράρχους ἠνάγκαζεν. Ξε. Ἑλ. 6, 2, 14. Τῇ αὐτῇ ἰδέᾳ ἐκεῖνά τε ἔσχον καὶ τὰ ἐνθάδε νῦν πειρῶνται. Θ. 6, 76, 3. Εἴ τις Ἀθηναίους φαίη πεφυκέναι ἐπὶ τῷ μήτε αὐτοὺς ἔχειν ἡσυχίαν μήτε τοὺς ἄλλους ἀνθρώπους ἐᾶν, ὀρθῶς ἂν εἴποι. Θ. 1, 70, 5. Εἰς ὄψιν ἦλθες ὥσπερ ἐξηύχου πάλαι (erg. εἰς ὄψιν ἐλθεῖν). Αἰσχ. Χο. 215. — Εἰς μὲν τὰς ἄξουσιν, εἰς δὲ τὰς εὐλαβήσονται. Πλ. πολ. 467. Οἱ μισθοφόροι κακὸν μὲν οὐδὲν ποιοῦσι τὸν μηδὲν ἀδικοῦντα, τοὺς δὲ κακουργεῖν βουλομένους κωλύουσιν. Ξε. Ἱέρ. 108. — Δεῖ αὐτούς τε ἄνδρας ἀγαθοὺς εἶναι καὶ τοὺς ἄλλους παρακαλεῖν. Ξε. ἀν. 3, 1, 44. Χειρίσοφος ἐλάμβανε τὰ ὅπλα καὶ τοῖς ἄλλοις παρήγγελλεν. Ξε. ἀν. 4, 3, 17. Εἴ τι εὑρίσκοιεν τῶν εἰρημένων μὴ ἀφειμένον ἀγγροῦντο. Ξε. ἀν. 4, 1, 14. — Ἐξείη ἂν σοι, εἴ ποι βούλοιο, θεωρήσοντι πορεύεσθαι. Ξε. Ἱέρ. 11, 10. — Γίγνεσθε ἄνδρες οἵουσπερ ὑμᾶς οἱ Ἕλληνες ἀξιοῦσιν. Θ. 3, 14. Ὅρα μὴ τούτων μὲν ἐχθρὸς ᾖς, ἐμὸς δὲ προσποιῇ. Δη. 18, 125. Ἐγὼ μὲν κοινωνεῖν ἕτοιμος, οἶμαι δὲ καὶ Λάχητα τόνδε. Πλ. Λάχ. 180. Ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν ἐπῃνεῖτο καὶ ὁ ἐπικελεύσας τὸν μὴ διανοούμενον. Θ. 3, 82, 5.

(A. 12. Der Inf. des Präſens kann auch aus einem andern Tempus ergänzt werden. Ἐκέλευσε τοὺς Ἕλληνας, ὥσπερ νόμος αὐτοῖς εἰς μάχην, οὕτω ταχθῆναι. Ξε. ἀν. 1, 2, 15. Vgl. Her. 8, 114. Ueber die Ergänzung eines paſſiven Inf. aus einem Activ Th. 3, 64, 2 u. 5, 28, 3.)

§ 56. Particip.

I. Das Particip prädicativ.

1. Das Particip, ein verbales Adjectiv, erſcheint als ſolches auch in Anſehung ſeines Gebrauches, mit einigen, zum Theil nur ſcheinbaren Eigenthümlichkeiten, die aus ſeinem Weſen erklärlich ſind.

2. Als Adjectiv kann das Particip attributiv und ſo auch ſubſtantivirt (§ 43, 2 u. 4 mit den An.), prädicativ und appoſitiv eintreten.

3. Als Prädicat findet ſich das Particip ſelbſt in Verbindung mit dem einfachſten Prädicatsverbum *εἶναι*; eben ſo bei *ὑπάρχειν*, dies mehr nur Demoſtheniſch. [Vgl. Th. 5, 83, 1.]

A. 1. Dieſe Ausdrucksweiſe ſtellt die Handlung als ein beſtehendes Ergebniß vor. [Vgl. Ariſtot. Φυσ. ἀκρ. 1, 3, 10 u. z. Th. 1, 1, 1. 38, 2.] Dem gemäß iſt ſie am meiſten beim Part. Pr. und Pf. üblich. Εἰμὶ νῦν μὲν τυράννῳ ἐοικώς, τότε δὲ σαφῶς δοῦλος ἦν. Ξε. συ. 4, 32. Εἰ τοῖς πλέοσιν ἀρέσκοντές ἐσμεν, τοῖσδ' ἂν μόνοις οὐκ ὀρθῶς ἀπαρέσκοιμεν. Θ. 1, 38, 2. Μέτριος πρὸς ἅπαντάς εἰμι, ἐλεήμων, εὖ ποιῶν πολλούς. Δη. 21, 101. — Ἦσαν ἀπιστοῦντές τινες Φιλίππῳ καὶ νοῦν ἔχοντες. Δη. 19, 53. Αἱ γνῶμαι δεδουλωμέναι ἁπάντων ἀνθρώπων ἦσαν. Πλ. Μενέξ. 340. — Ὅταν γνῶσιν αὐτὴν αὑτῆς τις ἔχῃ, γιγνώσκων που αὐτὸν ἑαυτὸν τότε ἔσται. Πλ. Χαρ. 169. — Ἐγὼ τὸ πρᾶγμά εἰμι τοῦτο δεδρακώς. Δη. 21, 104. Οὐδ' ᾔσθοντο ὅτε ἦν τετελευτηκὼς Ἀγνίας. Δη. 43, 64. Ὁ παραβὰς τίνα δοὺς δίκην ἀξίαν ἔσται δεδωκώς; Δη. 21, 50. Οὔτε συντεταγμένοι οὔτε μάχεσθαι παρεσκευασμένοι κατειλημμένοι ἔσονται. Ξε. Κυ. 4, 2, 22. (Ὁ παιδοτρίβης ἂν ἀποκτείνας αὐτὸν εἴη. Ἀντ. 3, δ, 4. Τὸ σὸν διδάξας τοὐμὸν οὐ μαθὼν ἔσει. Μέ. 1004. — Τοῦτο ὑπάρχειν ὑμᾶς εἰδότας ἡγοῦμαι. Δη. 18, 95.

A. 2. So ſtehen auch die (adjectiviſch gewordenen) Participia von Impersonalien. Ὅσα τὰ περὶ τὴν πόλιν διῴκησαν, ὥσπερ προσῆκον ἦν. Ἰσ. 12, 124. Σφόδρ' ἐστὶ ξυμφέρον τὸ μηδὲν ἀσκεῖν ὑγιὲς ἐν τῷ νῦν βίῳ. Ἀρ. πλ. 49.

A. 3. Es findet ſich ſogar ἔστιν ὤν, γιγνόμενος, wie auch ἔστιν (οὕτως) ἔχων; ſelten ὤν mit einem andern Particip. Οὐδαμοῦ τά γε μὴ ὄντα ὄντ' ἐστίν. Πλ. Εὐθύδ. 284. Ὑπόμνημα ἦσαν ὄντες οἱ στέφανοι. Δη. 22, 74. Προσῆκε τό τε γεγονὸς εἶναι γεγονὸς καὶ τὸ γιγνόμενον εἶναι γιγνόμενον, ἔτι δὲ τὸ γενησόμενον εἶναι γενησόμενον καὶ τὸ μὴ ὂν μὴ ὂν εἶναι. Πλ. Τί. 38. Ἦσάν τινες καὶ γενόμενοι Νικίᾳ λόγοι πρότερον πρός τινας τῶν Κυθηρίων. Θ. 4, 54, 2. — Ἔστιν οὕτως ἔχον τε καὶ γεγονός. Πλ. Παρμ. 154. Ἔστιν οὐχ οὕτω ταῦτ' ἔχοντα. Δη. 20, 113. [Heindorf zu Plat. Phaid. 113.] — (Τοῦτό ἐστιν ἐν τοῖς οὖσι νόμοις κυρίοις ὑπάρχον καλὸν καὶ σαφές. Δη. 20, 96. — Σὺ ὢν δὴ διαφέρων πάντων τῶν ἐμφρόνων οὐχ ἕξεις εἰπεῖν; Πλ. νό. 953.)

A. 4. Am häufigſten ſteht ſo εἶναι mit einem (activen) Particip das den

Artikel bei ſich hat. Vgl. § 50, 4, 3 u. 4. Νόμος ὁ βοηθῶν ἔστω τῷ τῆς πόλεως ξυνδέσμῳ μετὰ θεῶν. Πλ. νό. 921. Νοῦς ἔστιν ὁ διακεκοσμηκὼς πάνθ' ὅσα κατ' οὐρανόν. Πλ. νό. 967. Ὁ ἐνταῦθα ἑαυτὸν τάξας τῆς πολιτείας εἰμὶ ἐγώ. Δη. 18, 62.

A. 2. Ein adjectivisches Attribut das zu mehreren Nominen gehört findet sich wiederholt gewöhnlich nur der Deutlichkeit oder des Nachdrucks halber oder wenn die Nomina von verschiedenem Genus oder Numerus (oder beides) sind. Oft jedoch wird es auch in diesem Falle nur Ein Mal gesetzt und dem nächsten Nomen angefügt. Ἡ αὐτὴ ἀρετὴ πολίτου τε σπουδαίου καὶ ἀνδρὸς σπουδαίου. Ἀρλ. pol. 3, 2, 5. Ἓν σῶμα ἔχων καὶ ψυχὴν μίαν παντὶ θυμῷ φιλεῖ τοὺς ἑαυτὸν εὖ ποιοῦντας. Dη. 19, 227. — Ποταμοὺς εἰώθαμεν λέγειν τοὺς αὐτοὺς καὶ κρήνας τὰς αὐτάς, καίπερ ἀεὶ τοῦ μὲν ἐπιγιγνομένου νάματος, τοῦ δ' ὑπεξιόντος. Ἀρλ. pol. 3, 1, 13. Ἐκεῖνος ὁ καιρὸς καὶ ἡ ἡμέρα ἐκείνη εὕνουν καὶ πλούσιον ἄνδρα ἐκάλει. Dη. 18, 172. Πάσαις ἡλικίαις καὶ πᾶσιν ἤθεσιν ἡ χρῆσις τῆς μουσικῆς ἐστι προσφιλής. Ἀρλ. pol. 8, 5, 4. — Συχνῷ τῷ ψεύδει καὶ τῇ ἀπάτῃ κινδυνεύει ἡμῖν δεήσειν χρῆσθαι τοὺς ἄρχοντας ἐπ' ὠφελείᾳ τῶν ἀρχομένων. Pl. pol. 459.

Τὸν καλὸν κἀγαθὸν ἄνδρα καὶ γυναῖκα εὐδαίμονα εἶναί φημι, τὸν δὲ ἄδικον καὶ πονηρὸν ἄθλιον. Pl. Γo. 470. Τὸν ἥττονα δουλοῦμεθ' ἄνδρες ἄνδρα καὶ πόλις πόλιν. Eὐ. ἰκ. 493. Εἰκός γε παντὶ καὶ λόγῳ καὶ μηχανῇ πατρίδος ἐρῶντας ἐκπονεῖν σωτηρίαν. Eὐ. Τη. 5. Ἀναμνήσθητε ἐξ ὅσων κακῶν καὶ πολέμου ὑμᾶς αὐτοὺς περιεποιήσατε καὶ τὴν πόλιν. Λυ. 6, 47. Δεήσομαι πάντων ὑμῶν μηδεμίαν μήτε χάριν μήτ' ἄνδρα ποιεῖσθαι περὶ πλείονος ἢ τὸ δίκαιον. Dη. 19, 1. vgl. 18, 275. (Ὁ σίγλος δύναται ἑπτὰ ὀβολοὺς καὶ ἡμιοβόλιον Ἀττικούς. Xe. ἀν. 1, 5, 6. — Δεινὰ πεπόνθασι καὶ πόλεις ὅλαι καὶ ἔθνη. Dη. 18, 271. Λακεδαιμόνιοι καὶ ἡμεῖς οὔτε νόμοις οὔτε ἔθεσι χρώμεθα τοῖς αὐτοῖς οὔτε πολιτείᾳ. Dη. 20, 105. — Ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία κατέστη. Th. 1, 102, 3. Τοὺς ἀναξίους παιδεύσεως ποῖ' ἄττα φῶμεν γεννᾶν διανοήματά τε καὶ δόξας; Pl. pol. 496. — (Μέγαρα ἀπέχει Συρακουσῶν οὔτε πλοῦν πολὺν οὔτε ὁδόν. Th. 6, 49, 3. vgl. dort die Anm.)

A. 3. Ein Adjectiv als Attribut zweier persönlichen Singulare kann, wenn ohne Artikel, im Plural stehen. Σωφρόνων ἐστὶ καὶ ἀνδρὸς καὶ γυναικὸς οὕτω ποιεῖν ὅπως τὰ ὄντα ὡς βέλτιστα ἕξει. Xe. οἰκ. 7, 15.

3. Ein adjectivischer Begriff der zu verbundenen Nominen als Prädicat gehört wird nur ein Mal gesetzt; eben so in der Regel adjectivische Pronomina welche sich auf verbundene Nomina beziehen.

A. 1. Ein adjectivischer Begriff auf zwei (verschiedene) persönliche Singulare als Prädicat bezogen steht im Singular, wenn jeder gleichmäßig; im Dual, wenn beide jeder für sich; im Plural, wenn sie verbunden zu denken sind. Der Plural (und Dual) steht im Masculinum auch wenn er sich auf ein Masc. und Fem. bezieht. Vgl. § 43, 1, 2. (Doch kann er sich auch nach dem nächsten Nomen richten. Vgl. Xen. Kyr. 7, 5, 60.) Ὁ μὲν σώφρων καὶ σωφρονοῦσα ἔστω πάντα εὐδόκιμος. Pl. nó. 784. — Σωκράτει ὁμιλητὰ γενομένω Κριτίας τε καὶ Ἀλκιβιάδης πλεῖστα κακὰ τὴν πόλιν ἐποιησάτην. Xe. ἀπ. 1, 21, 12. — Ἀγάθων καὶ Σωκράτης λοιποί. Pl. συ. 193. — Ἄλκηστις ἠθέλησε μόνη ὑπὲρ τοῦ αὑτῆς ἀνδρὸς ἀποθανεῖν ὄντων αὐτῷ πατρός τε καὶ μητρός. Pl. συ. 179. — Τὸ ἔσχατον τῆς ἐλευθερίας τοῦ πλήθους, ὅταν δὴ οἱ ἐωνημένοι καὶ αἱ ἐωνημέναι μηδὲν ἧττον ἐλεύθεροι ὦσι τῶν πριαμένων. Pl. pol. 563. — Εἶδον νέους τε καὶ νέας ὁμιλοῦντας φιλοφρόνως ἀλλήλοις. Pl. nó. 835. — Ἧττον ἂν εἴη στάσις ἑνὸς ἄρχοντος ἢ πολλῶν. Xe. ἀν. 5, 9, 29.

A. 2. Bei einer Verbindung persönlicher und sachlicher Nomina richtet sich das adjectivische Prädicat nach dem persönlichen, wenigstens im Genus, wenn es im Plural steht; zuweilen auch nach dem sachlichen, wenn dies näher steht. Ἐπόθετο τὸν Στρομβιχίδην καὶ τὰς ναῦς ἀπεληλυθότα. Th. 8, 63, 1. Αὐτοί τε ἄνθρωποι καὶ γῆ αὐτῶν ἐπώνυμοι τοῦ καταστρεψαμένου καλοῦνται. Ἡρ. 7, 11, 3. Ἡ τύχη καὶ Φίλιππος ἦσαν τῶν ἔργων κύριοι. Aἰ. 12, 118. (Τιμωμένου πλούτου ἐν πόλει καὶ τῶν πλουσίων ἀτιμοτέρα ἀρετή τε καὶ οἱ ἀγαθοί. Pl. pol. 551.)

A. 3. Im Neu. Plu. steht ein adjectivisches Prädicat auf ein persönliches oder unpersönliches Nomen bezogen, wenn beide bloß als Gegenstände betrachtet werden. Ἡ καλλίστη πολιτεία τε καὶ ὁ κάλλιστος ἀνὴρ λοιπὰ ἂν ἡμῖν εἴη διελθεῖν. Pl. pol. 562. (Ἔχω αὐτῶν καὶ τέκνα καὶ γυναῖκας ἐν Τράλλεσι φρουρούμενα. Xe. ἀν. 1, 8, 4.)

A. 4. Wenn zu mehrern unpersönlichen Nominen Ein adjectivisches Prädicat hinzugefügt wird, so richtet es sich entweder nach dem nächsten oder steht im Plu.; am häufigsten im Plural des Neu., in sofern die Nomina bloß als Gegenstände betrachtet werden. Vgl. z. Th. 3. 97, 3. In diesem Falle ist das adjectivische Prädicat eig. substantivirt. Vgl. 43, 4, 11. Καὶ νόμος καὶ φόβος ἱκανὸς ἔρωτα κωλύειν. Xe. Ku. 5, 5, 1, 9. Ἄφοβον δείκνυσι καὶ σχῆμα καὶ πρόσωπον καὶ λόγους. Xe. Ku. 6, 4, 20. Οὔτε τυραννίδες χωρὶς πόνου γένοιντ' ἂν οὔτ' οἶκος μέγας. Eὐ. Ἰξ. 2. — Τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ κακοῦ, κακά. Xe. ἀπ. 4, 2, 32. Τέχναι πᾶσαι καὶ σοφίσματα διὰ τὸν Πλοῦτόν ἐσθ' εὑρημένα. Ἀρ. πλ. 160. Οὔτε σώματος κάλλος καὶ ἰσχὺς δειλῷ καὶ κακῷ ξυνοικοῦντα πρέποντα φαίνεται ἀλλ' ἀ-

πρεπῆ. Πλ. Μενέξ. 246. Δόξα καὶ ἐπιμέλεια καὶ νοῦς καὶ τέχνη καὶ νόμος σκληρῶν καὶ μαλακῶν πρότερα ἂν εἴη. Πλ. νό. 892. Λύπη ὀργή τ' εἰς ἕνα ψυχῆς τόπον ἐλθόντα μανία τοῖς ἔχουσι γίγνεται. Στ. 99, 2. Εὐγένειαί τε καὶ δυνάμεις καὶ τιμαὶ ἐν τῇ ἑαυτοῦ δῆλά ἐστιν ἀγαθὰ ὄντα. Πλ. Εὐθύδ. 279. Τὸ κινησόμενον καὶ κίνησιν συγχωρητέον ὡς ὄντα. Πλ. σο. 249. (Τῶν ὑπαρχάντων νόμων καὶ πολιτείας μενόντων οὐκ ἔνι τῶν αἰσχρῶν αὐτῷ τούτων ἀπαλλαγῆναι. Δη. 25, 68.)

A. 5. **Substantivirte Neutra adjectivischer Pronomina können sich eben so auf mehrere unpersönliche Nomina auch von anderm Genus beziehen.** Doch können sich die Pronomina auch adjectivisch gebraucht nach dem nächsten Nomen richten. (Auf zwei einheitliche Begriffe bezogen steht das Pronomen im Dual, in sofern jeder für sich zu betrachten ist.) Ἐπὶ μὲν τοὺς ἐχθροὺς στρατιώτας τρέφειν δεῖ· ἐπὶ δ' ἡμᾶς αὐτοὺς ψήφισμα, εἰσαγγελία, πάραλος, ταῦτ' ἐστὶν ἱκανά. Δη. 8, 29. (Οὐκ οἶδα) εἴτε χρὴ κακίαν εἴτ' ἄγνοιαν εἴτε καὶ ἀμφότερα ταῦτ' εἰπεῖν. Δη. 18, 20. Πᾶν δὴ τὸ καλῶς ἔχον ἢ φύσει ἢ τέχνῃ ἢ ἀμφοτέροις ἐλαχίστην μεταβολὴν ὑπ' ἄλλου ἐνδέχεται. Πλ. πολ. 381. — Ὁμολογεῖται τὴν φύσιν ἡμῶν ἔκ τε τοῦ σώματος συγκεῖσθαι καὶ τῆς ψυχῆς, αὐτοῖν δὲ τούτοιν οὐδεὶς ἔστιν ὃς οὐκ ἂν φήσειεν ἡγεμονικωτέραν πεφυκέναι τὴν ψυχὴν καὶ πλέονος ἀξίαν. Ἰσ. 15, 180. Εὐαγόρας παῖς ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ σωφροσύνην, ἅπερ τῶν ἀγαθῶν πρεπωδέστατα τοῖς τηλικούτοις ἐστίν. Ἰσ. 9, 22. Ἥκομεν ἐκκλησιάσοντες περὶ πολέμου καὶ εἰρήνης, ἃ μεγίστην ἔχει δύναμιν ἐν τῷ βίῳ τῷ τῶν ἀνθρώπων. Ἰσ. 8, 2. Εὐεργετῶν ἀνθρώπους καρποῦμαι ἀσφάλειαν καὶ εὔκλειαν, ἃ οὐ κατασήπεται. Ξε. Κυ. 8, 2, 22. — Φίλιππος καὶ πλοῦτον καὶ δύναμιν ἐκέκτητο ὅσην οὐδεὶς τῶν Ἑλλήνων, ἃ μόνα τῶν ὄντων καὶ πείθειν καὶ βιάζεσθαι πέφυκεν. Ἰσ. 5, 15.

A. 6. **Substantivirt finden sich auch demonstrative und relative Pronomina im Neutrum besonders des Singulars auf ein Masc. oder Fem. selbst eines persönlichen Begriffes, bezogen oder es ankündigend.** Φιλοσοφία ἐστὶ χάριεν, ἄν τις αὐτοῦ μετρίως ἅψηται ἐν τῇ ἡλικίᾳ. Πλ. Γο. 484. Ἐπιστήμης οὐδὲν ἐστι κρεῖττον, ἀλλὰ τοῦτο ἀεὶ κρατεῖ. Πλ. Πρω. 357. Οὐχ ὧν ἕνεκα οἱ πολλοί φασι δεῖν πονηρίαν μὲν φεύγειν, ἀρετὴν δὲ διώκειν, τούτων χάριν τὸ μὲν ἐπιτηδευτέον, τὸ δ' οὔ, ἵνα δὴ μὴ κακὸς καὶ ἵνα ἀγαθὸς δοκῇ εἶναι. Πλ. Θε. 176. — Οὐδεπώποτε λόγους ἠγάπησα, ἀλλ' ἀεὶ ἐνόμιζον τοὺς περὶ τοῦτο διατρίβοντας ἀργοτέρους εἶναι πρὸς τὰς πράξεις. Ἰσ. 6, 15. — Ἡ γῆ ἐγέννησεν ἄνθρωπον, ὃ συνέσει ὑπερέχει τῶν ἄλλων. Πλ. Μενέξ. 237. — Εὐδαιμονίας τοῦτ' ἔστιν, οἷς νοῦν ἔχων. Μέ. Στ. 77, 4. Ὃ μεταξὺ ἀμφοτέρων ἔφαμεν εἶναι τὴν ἡσυχίαν, τοῦτό ποτε ἀμφότερα ἔσται λύπη τε καὶ ἡδονή. Πλ. πολ. 583.

A. 7. **Zuweilen bezieht sich ein solches Neu. auf den verbalen Begriff der im Substantiv enthalten ist.** [Kr. z. Dion. p. 4.] Τοῖς Ἀσιανοῖς πυγμῆς καὶ πάλης ἆθλα τίθεται καὶ διεζωσμένοι τοῦτο ὁρῶσιν. Θ. 1, 6, 4. Παντάπασι φύσεως κακίας σημεῖόν ἐστιν ὁ φθόνος καὶ οὐκ ἔχει πρόφασιν δι' ἣν ἄν τύχοι συγγνώμης ὁ τοῦτο πεπονθώς. Δη. 20, 140. Οὐδεμία παραίνεσις ἀγαθοὺς ἂν ποιήσειε τοξότας, εἰ μὴ ἔμπροσθεν τοῦτο μεμελετηκότες εἶεν. Ξε. Κυ. 3, 3, 50.

A. 8. **Das Neu. besonders von Pronominaladjectiven kann sich auch auf nicht substantivische Begriffe beziehen.** So selbst auf Verba, in sofern der Inf. entweder da steht oder (mit dem Zugehörigen) gedacht wird. Ὃ εὖ ζῶν μακάριός τε καὶ εὐδαίμων, ὁ δὲ μή, τἀναντία. Πλ. πολ. 354. — Φαμὲν οὐχ ἧσσον ὠφελῆσαι ὑμᾶς ἢ τυχεῖν τούτου. Θ. 1, 74, 3. Πατρὶ πείθεσθαι χρεὼν παῖδας νομίζειν τ' αὐτὸ τοῦτ' εἶναι δίκην. Εὐ. Ἀλ. 5. Οὐχ ὁ δουλωσάμενος, ἀλλ' ὁ δυνάμενος μὲν παῦσαι, περιορῶν δὲ ἀληθέστερον αὐτὸ δρᾷ. Θ. 1, 69, 2. Εὐψυχίαν ἔσπευσας ἀντ' εὐβουλίας, ὃ δῆτα πολλοὺς ὤλεσε στρατηλάτας. Εὐ. Ἰκ. 161. Φθονεῖ ἢ καὶ φοβεῖται· ἀμφότερα γὰρ τάδε πάσχει τὰ μείζω. Θ. 6, 78, 2.

A. 9. **Das Relativ bezieht sich in einigen Stellen nach zwei verschiedenen Begriffen bloß auf den (wichtigern) ersten.** Εὕρες ἄνδρας καὶ πόλισμ' ἐλεύθερον, οἳ σ' οὐκ ἔδεισαν. Εὐ. Ἡρ. 958. Οὐκ ἄχρηστοι αἱ πέρυσι πρεσβεῖαι ἐκεῖναι καὶ κατηγορίαι, ἃς οἱ πρέσβεις περιῆλθομεν. Δη. 9, 72. [Vgl. Xe. An. 2, 5, 8 u. Pflugk zu Eur. Her. 363.]

A. 10. **Auf einen Dual kann sich ein Plural beziehen.** Ἄνδρε δύο χωρεῖτον, ὧν μαθόντες εἴσιτον. Σο. Φι. 539. Διάκεισθε ὥσπερ τὼ χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τὸ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν. Ξε. ἀπ. 2, 3, 18.

4. **Bei der appositiven und anaphorischen Verbindung richtet der Grieche sich oft nicht nach der Form, sondern nach dem Wesen des bezüglichen Begriffes.**

A. 1. **So können auf Collective jeglichen Geschlechtes (und Numerus) bezogen Participia (Adjective) und Pronomina im Plural des Masc. stehen, in sofern man die bezüglichen Individuen gedacht wissen will.** Kr. De auth. p. 30 s., z. Dion. p. 32 u. Reg. z. Th. u. Plural.] Ὁ ὄχλος ἠθροίσθη, θαυμάζοντες καὶ ἰδεῖν βουλόμενοι τὸν Ἀλκιβιάδην. Ξε. Ἑλ. 1, 4, 13. (Τροίαν ἑλόντες δήποτ' Ἀργείων στόλος θεοῖς λάφυρα ταῦτ' ἐπασσάλευσαν. Αἰσ. Ἀγ. 577.) Στρατιὰ ἔτυχε παρελθοῦσα, πρὸς βοιωτούς τι πράσσοντες. Θ. 6, 61, 2. Τὸ στράτευμα ἐπορίζετο σῖτον, κόπτοντες τοὺς βοῦς καὶ ὄνους. Ξε. ἀν. 2, 1, 6. — Μελέτω σοι τοῦ πλήθους καὶ περὶ παντὸς ποιοῦ κεχαρισμένως αὐτοῖς ἄρχειν. Ἰσ. 2, 15. [Selten so ἑαυτῶν, wie Th. 6, 53, 3.] Τίς σε αἰτιᾶται πόλις νομοθέτην ἀγαθὸν γεγονέναι καὶ σφᾶς ὠφεληκέναι; Πλ. πολ. 599. Τίς ἂν εὖ φρονῶν τοῦ τῆς Κακίας θιάσου τολμήσειεν εἶναι; οἱ νέοι μὲν ὄντες τοῖς σώμασιν ἀδύνατοί εἰσιν, πρεσβύτεροι δὲ γενόμεναι ταῖς ψυχαῖς ἀνόητοι. Ξε. ἀπ. 2, 1, 31. [z. Th. 3, 67, 2. 6, 80, 1.] Δεῖ ζηλῶσαι καὶ μιμήσασθαι τὴν ἐν Λακεδαίμονι βασιλείαν. ἐκείνοις γὰρ ἀδικεῖν ἧττον ἔξεστιν ἢ τοῖς ἰδιώταις. Ἰσ. 8, 142. [Ueber den Plural eines Verbums z. Th. 1, 72, 1.]

A. 2. **So stehen auch nach Erwähnung von Ländern und Städten adjectivische Begriffe, auf deren Bewohner hinweisend, im Plu. des Masc.; im Plu. eben so auch Verba.** Ἀφίκοντο εἰς Κοτύωρα, πόλιν Ἑλληνίδα, Σινωπέων ἀποίκους, οἰκοῦντας ἐν τῇ Τιβαρηνῶν χώρᾳ. Ξε. ἀν. 5, 5, 3. Θεμιστοκλῆς φεύγει ἐς Κέρκυραν, ὧν αὐτῶν εὐεργέτης. Θ. 1, 136, 1. Τῶν ἐπὶ Θράκης μεγίστη πόλις Ὄλυνθος· οὗτοι τῶν πόλεων προηγάγοντο ἔστιν ἃς. Ξε. Ἑλ. 5, 2, 12. (Πορώσω τὰς Ἀθήνας, οἵ γε ἐμὲ ὑπῆρξαν ἄδικα ποιοῦντες. Ἡρ. 7, 8, 3.) — Ναυτικὰ ἐξηρτύετο ἡ Ἑλλὰς καὶ τῆς θαλάσσης ἀντείχοντο. Θ. 1, 13, 1. Γοργίας ὁ Λεοντῖνος διέτριψε περὶ Θετταλίαν, ὅτε εὐδαιμονέστατοι ἦσαν. Ἰσ. 15, 155. Vgl. Th. 8, 61, 2.

A. 3. **Auch auf einen individuellen Singular kann ein mehrheitlicher Begriff bezogen werden, in sofern dieser die Masse (oder doch eine Mehrheit, wie Th. 1, 136, 2) von Individuen zu denen jener mit gehört umfaßt.** [zu Xe. An. 3, 4, 41 u. z. Th. 3, 22, 4. 6, 101, 5.] **So besonders das Reflexiv der dritten Person; ferner αὐτοί, σφεῖς [4, 114, 5] und σφέτερος.** Ἀγησίλαος εἶπεν ὡς εἰ μὴ ἑαυτοὺς αἱρήσονται, δῆλοι πᾶσαν τὴν γῆν αὐτῶν. Ξε. Ἑλ. 4, 6, 4. Κῦρος ἐπεσκοπεῖτο εἴ τι δυνατὸν εἴη τοὺς πολεμίους ἀσθενεστέρους ποιεῖν ἢ αὐτοὺς ἰσχυροτέρους. Ξε. Κυ. 5, 2, 22. Ὁ Λάμαχος παρεβοήθει ἀπὸ τοῦ εὐωνύμου τοῦ ἑαυτῶν. Θ. 6, 101, 5. — Τισσαφέρνης διελαύνων κατέκανε μὲν οὐδένα, διαστάντες δ' οἱ Ἕλληνες ἔπαιον καὶ ἠκόντιζον αὐτούς. Ξε. ἀν. 1, 10, 7. (Βασιλεὺς συνῆει καὶ εἶδον οἱ Ἕλληνες ἐγγὺς ὄντας καὶ παρατεταγμένους. Ξε. ἀν. 1, 10, 10.) Θεμιστοκλῆς ἐκέλευε τοὺς πρέσβεις μὴ ἀφεῖναι πρὶν ἂν αὐτοὶ κομισθῶσιν· ἐφοβεῖτο γὰρ μὴ οἱ Λακεδαιμόνιοι σφᾶς οὐκέτι ἀφῶσιν. Θ. 1, 91, 2. [zu 1, 72, 2 u. Reg. u. Pronomina g. E.] — Ὁ Γύλιππος ἀπῆγαγε τοὺς σφετέρους. Θ. 7, 4, 3. [zu 5, 10, 6. vgl. Xe. Hell. 7, 5, 6. **Das Verbum im Plural nach dem Namen des Feldherrn**

3, 112, 3; über das Particip im No. des Plurals nach dem Verbum im Sing. zu 6, 25, 3.]

A. 4. In gleicher Weise treten nicht selten nach Singularen Plurale von Demonstrativen und Relativen ein, in sofern alle Individuen der Gattung zu bezeichnen sind. Vgl. Porson zu Eu. Or. 910. (Selten umgekehrt.) Κακὸν φυτὸν πέφυκεν ἐν βίῳ γυνὴ καὶ κτώμεθ' αὐτὰς ὡς ἀναγκαῖον κακόν. Mé. 304. Ἄνθρωπος εἰ δήπουθεν, ὧν ἐστ' οὐδὲ εἷς ᾧ μὴ κακόν τι γέγονεν ἢ γενήσεται. Φιλή. 108. Ἄλλος ἀναστὰς ἔλεγε τῷδ' ἐναντία, αὐτουργός, οἷπερ καὶ μόνοι σώζουσι γῆν. Εὐ. Ὀρ. 917. Φίλοις ἀληθὴς ἦν φίλος παροῦσί τε καὶ μὴ παροῦσιν, ὧν ἀριθμὸς οὐ πολύς. Εὐ. Ἰκ. 867. — (Δεῖ τινας φίλους ὑπάρχειν, οἷον αὐτὸς δή. Δη. 19, 136.)

A. 5. Wegen ihrer collectiven Bedeutung können auch Wörter wie ἕκαστος, τίς, πᾶς τις, οὐδείς, ὅς ἄν, ὅστις (ἄν) mit Pluralen in Beziehung stehen, sowohl der Plural auf den Singular bezogen als umgekehrt. Ὅταν ἕκαστος διανοηθῇ ὡς ἄλλος ἔσται ὁ πράσσων, τούτοις εὖ ἴστε ὅτι πᾶσιν ἅμα πάντα ἥκει τὰ χαλεπὰ φερόμενα. Ξε. Κυ. 2, 3, 3. Προσῆει ἑνὶ ἑκάστῳ, οὕστινας ᾤετο ἕξειν τι δοῦναι. Ξε. ἀν. 7, 3, 16. Ἕκαστον ἐκέλευσε τοῖς καινοῖς ἑαυτῶν θεράπουσιν εἰπεῖν ὅτι ὅστις ἂν αὐτῶν φαίνηται ὄπισθεν, κολασθήσεται. Ξε. Κυ. 5, 2, 1. Ἔφυγον ἐκ τῆς ἀγορᾶς, δεδιότες εἷς ἕκαστος μὴ συλληφθείη. Ἀνδ. 1, 36. Πίστεις ἔδοσαν ἀλλήλοις, νομίζων ἕκαστος τὴν ἐπικουρίαν ταύτην αὐτῷ παρασκευάζειν. Ἰσ. 10, 40. (Τῶν ἑαυτοῦ ἕκαστος καὶ παίδων καὶ οἰκετῶν καὶ χρημάτων ἄρχουσιν. Ξε. Λακ. π. 6, 1.) — Ἐώρα τοὺς ἐπαινουμένους ὑπό τινος ἀντεπαινοῦντας τούτους προθύμως. Ξε. Κυ. 8, 3, 49. Ἄν τι πάθωσι κακόν, λοποῦνται ἐπὶ τούτοις. Ξε. Ἱέρ. 2, 13. Πᾶς τις ὕμνοσιν οἷς ὀφείλων τυγχάνω. Ἀρ. νε. 1135. Δοκεῖς ἄν τι ἔθνος ὅσα κοινῇ ἐπί τι ἔρχεται ἀδίκως πρᾶξαι ἄν τι δύνασθαι, εἰ ἀδικοῖεν ἀλλήλους; Πλ. πολ. 351. Οὐδεὶς ἐκοιμήθη, τοὺς ἀπολωλότας πενθοῦντες. Ξε. Ἑλ. 2, 2, 3. Ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται, εὐχόμενοι μὲν μὴ καθ' ἑαυτοὺς ἕκαστοι γενέσθαι, κωλύειν δὲ οὐδεὶς ἐπιχειρῶν. Δη. 9, 33. — Ὅς ἂν κάμνηται τῶν οἰκετῶν, τούτων σοι ἐπιμελητέον πάντων, ὅπως θεραπεύηται. Ξε. οἰκ. 7, 37. Ἀσπάζεται πάντας ᾧ ἂν περιτυγχάνῃ. Πλ. πολ. 566. Βασιλέας πολλοὺς κεκολάκευκεν, ᾧ ἂν συγγένηται. Λυ. 6, 6. — Ὅστις αὐτὸς ἢ φρονεῖν μόνος δοκεῖ ἢ γλῶσσαν ἣν οὐκ ἄλλος ἢ ψυχὴν ἔχειν, οὗτοι διαπτυχθέντες ὤφθησαν κενοί. Σο. Ἀντ. 707. Πολλοῖς παρεστὴν κἀφθόνησα δὴ βροτῶν, ὅστις κακοῖσιν ἐσθλὸς ὢν ὅμοιος ἦ. Εὐ. Δικ. 16. (Θαυμάζοντες ἄλλος ἄλλῳ ἔλεγεν. Πλ. συ. 220.)

A. 6. Ueber die Beziehung eines adjectivischen Begriffes auf ein Substantiv das in einem Adjectiv enthalten ist s. § 43, 3, 12. Vgl. Pflugk zu Eur. Herk. 157. Auf ein in ὁμέτερος liegendes ὑμεῖς bezieht sich οἱ Ξε. Kyr. 5, 2, 15.

§ 59. Parataktik.

1. Parataktisch ist diejenige Verbindung bei welcher Begriffe oder Sätze unabhängig von einander zusammengestellt werden. Dies geschieht entweder syndetisch d. h. durch Hinzufügung von Conjunctionen (σύνδεσμοι); oder asyndetisch d. h. durch bloße Zusammenstellung.

A. 1. Im Griechischen waltet bei Weitem mehr als in neueren Sprachen das Streben Begriffe und Sätze durch Conjunctionen zu verbinden und die Rede zu einem wohlgefügten, organischen Ganzen zu gestalten. Asyndeta erscheinen daher regelmäßig nur aus besonderen stilistischen Gründen, namentlich um der Rede mehr Lebhaftigkeit und Eindringlichkeit zu geben oder auch um anzudeuten daß man noch mehreres Aehnliche denken könne. [zu Xe. An. 3, 4, 31 lat. A. vgl. zu 2, 4, 28 deutsche A.] Ἦν ἐν τῷ στρατεύματι πάντα ὁμοῦ ἀκοῦσαι, ὀλοφυρμός, βοή, νικῶντες, κρατούμενοι, ἄλλα ὅσα ἐν μεγάλῳ κινδύνῳ μέγα στρατόπεδον πολυειδῆ ἀναγκάζοιτο φθέγγεσθαι. Θ. 7, 71, 4. Συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο, ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. Ξε. Ἑλ. 4, 3, 19. Ἀναισχυντοῦσιν, ἀρνοῦνται, ψεύδονται, προφάσεις πλάττονται, πάντα ποιοῦσιν ὑπὲρ τοῦ μὴ δοῦναι δίκην. Δη. 19, 215. Εἴρηκα, ἀκηκόατε, ἔχετε, κρίνατε. Ἀρλ. ῥητ. 3 Ε.

A. 2. Bloße Verkürzung ist das Asyndeton in ἄνω κάτω neben ἄνω (τε) καὶ κάτω drunter und drüber. Ἀνάτρεψον ἔμπαλιν ἄνω κάτω τὰ πάντα συγχέας ὁμοῦ. Εὐ. Βάκ. 348.

A. 3. Dem Asyndeton gesellt sich oft die Anaphora, eine nachdrucksvolle Wiederholung desselben Wortes, das dann wenigstens im zweiten und den folgenden Sätzen gewöhnlich die erste Stelle einnimmt: ἀναφορὰ ἀσύνδετος. [zu Xe. An. 3, 1, 37 lat. A.] Νῦν αἵδε μ' ἐκσώζουσιν, αἵδ' ἐμαὶ τροφοί, αἵδ' ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ συμπονεῖν. Σο. ΟΚ. 1367. Πάντων τῶν πεπραγμένων ἐξέστη, ὧν ἀπήγγειλεν, ὧν ὑπέσχετο, ὧν πεφενάκικε τὴν πόλιν. Δη. 19, 72. — Ἔστιν ἀνθρώπῳ λογισμός, ἔστι καὶ θεῖος λόγος. Ἐπίχαρμος Στ. I. p. LV. Ἔχεις πόλιν, ἔχεις τριήρεις, ἔχεις χρήματα, ἔχεις ἄνδρας τοσούτους. Ξε. ἀν. 7, 1, 21. (Ἐπὶ σαυτὸν καλεῖς, ἐπὶ τοὺς νόμους καλεῖς, ἐπὶ τὴν δημοκρατίαν καλεῖς. Αἰ. 3, 202.)

A. 4. Weniger lebhaft als eindringlich erscheint viel häufiger dieselbe Anaphora auch mit μέν — δέ; bloß mit δέ oft bei Dichtern, selten in der Prosa, wie Her. 1, 114, 1. 5, 26. 7, 10, 6. Hieher gehört auch ἅμα μέν — ἅμα δέ simul — simul, zugleich — und, theils — theils. [Reg. zu Kr.s Ausgaben u. Anaphora.] Ἀπάτης μὲν μεστὴ ἡ διὰ τῶν ὀμμάτων ὄψις, ἀπάτης δὲ ἡ διὰ τῶν ὤτων. Πλ. Φαιδ. 83. Δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων, δειναὶ δὲ ποταμοῦ, καὶ πυρὸς θερμαὶ πνοαί, δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία· ἀλλ' οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν. Εὐ. ἀποσ. ἀδ. 32. Ὁ ἀρετὴν ἔχων πλουτεῖ μὲν ὄντων φίλων, πλουτεῖ δὲ καὶ ἄλλων βουλομένων γενέσθαι. Ξε. ἀν. 7, 7, 42. Γνώμῃ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος, εἷς τ' αὖ πόλεμον ἰσχύει μέγα. Εὐ. Ἀντιό. 31. — Ζεύς ἐστιν αἰθήρ, Ζεὺς δὲ γῆ, Ζεὺς οὐρανός, Ζεύς τοι τὰ πάντα. Αἰσ. ἀποσπ. 295. — Τὸ πείθειν οἷόν τ' εἶναι τοῖς λόγοις ἐστὶν αἴτιον ἅμα μὲν ἐλευθερίας αὐτοῖς τοῖς ἀνθρώποις, ἅμα δὲ τοῦ ἄλλων ἄρχειν ἐν τῇ αὑτοῦ πόλει ἑκάστῳ. Πλ. Γο. 452.

A. 5. Asyndeta von Sätzen sind im Allgemeinen bei Dichtern viel häufiger als bei Prosaikern. Kaum als solche zu betrachten sind die Stellen an denen der zweite Satz eine Erklärung oder Erläuterung des ersten enthält, wo freilich oft auch καί oder γάρ anwendbar wäre. [Kr. De auth. p. 57 u. die Reg. zu Kr.s Ausgaben u. Asyndeton.] Ἅψαι τῶν ἔργων, ἐπίδειξον ἡμῖν ὅ, τι λέγεις. Αἰ. 3, 237. Τετόλμηται, δέδοται τὸ σῶμα τῷ κινδύνῳ. Αἰ. 2, 182. — Εἰμί τις γελοῖος ἰατρός· ἰώμενος μεῖζον τὸ νόσημα ποιῶ. Πλ. Πρω. 340. Ἐλπίδα χρὴ ἔχειν· ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τοιῶνδε ἐσώθησαν. Θ. 7, 77, 1. — Τοῦτο ἐξ ἀνάγκης αὐτῷ συμβαίνει. Λογίζεσθε γάρ· ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς, ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτο αὐτὸς ἄριστα σύνοιδεν ἑαυτῷ. Δη. 6, 17. — Αἱ ἄλλαι τέχναι οὕτως ἔχουσιν· ἑκάστη αὐτῶν περὶ λόγους ἐστὶ τούτους οἳ τυγχάνουσιν ὄντες περὶ τὸ πρᾶγμα οὗ ἑκάστη ἐστὶν ἡ τέχνη. Πλ. Γο. 450. Ἆρ' οἱ κόσμιοι οὐ (ταὐτὸν) τοῦτο πεπόνθασιν; ἀκολασίᾳ τινὶ σώφρονές εἰσιν; Πλ. Φαίδ. 68. Ὅπως μὴ ποιήσετε ὃ πολλάκις ὑμᾶς ἔβλαψεν· πάντ' ἐλάττω νομίζοντες εἶναι τοῦ δέοντος ἐπὶ τῷ πράττειν οὐδὲ τὰ μικρὰ ποιεῖτε. Δη. 4, 20. Ἐν τοῖς λόγοις ἀεὶ τοιοῦτος εἶ σαυτῷ τε καὶ τοῖς ἄλλοις ἀγριαίνεις πλὴν Σωκράτους. Πλ. συ. 173. Μία ἀρχὴ τοῖς μέλλουσι καλῶς βουλεύεσθαι· εἰδέναι δεῖ περὶ οὗ ἂν ᾖ ἡ βουλὴ ἢ παντὸς ἁμαρτάνειν ἀνάγκη. Πλ. Φαίδρ. 237. ȝ. Θη. 2, 60, 3. 6, 11, 4.] — (Ὦ παῖ σιώπα· πόλλ' ἔχει σιγὴ καλά. Σο. ἀποσ. 102. Μὴ πάντ' ἐ-

ρεύνα· πολλὰ καὶ λαθεῖν καλόν. Σο. ἀποσ. 104. Μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν, ὃν χὠ (καὶ ὁ) κάκιστος ῥᾳδίως ἐκτήσατο. Εὐ. Αἰο. 5. Μεταδίδου παῤῥησίας· βέλτιστον τοῦτο δοῦλον ποιήσει πολύ. Μέ. 359.) Vgl. § 54, 1, 2.

A. 6. Aehnlich finden ſich appoſitiv ſelbſt der Conjunctiv und Optativ; über den Infinitiv § 57, 10, 8. Κτῆσαι Μυκήνας μηδ', ὅπερ φιλεῖτε δρᾶν, πάθῃς σὺ τοῦτο, τοὺς ἀμείνονας παρὸν φίλους ἐλέσθαι τοὺς κακίονας λάβῃς. Εὐ. Ἡρ. 177. Φυλακτέον μὴ τοιοῦτον ἡμῖν οἱ ἐπίκουροι ποιήσωσι, ἀντὶ ξυμμάχων εὐμενῶν δεσπόταις ἀγρίοις ἀφομοιωθῶσιν. Πλ. πολ. 416. Οὐκ εὔκολος γίγνοιτ' ἂν ὁ κατοικισμὸς ταῖς πόλεσιν, ὅταν μὴ τὸν τῶν ἐσομῶν γίγνηται τρόπον, ἐν γένος ἀπὸ μιᾶς ἰὸν χώρας οἰκίζηται. Πλ. νό. 708. — Ὡς οἱ ἐπιτηδεύοντες ἀδυναμίᾳ τοῦ ἀδικεῖν ἄκοντες αὐτὸ ἐπιτηδεύουσι, μάλιστ' ἂν αἰσθοίμεθα, εἰ τοιόνδε ποιήσαιμεν τῇ διανοίᾳ, δόντες ἐξουσίαν ἑκατέρῳ ποιεῖν ὅ, τι ἂν βούληται, τῷ τε δικαίῳ καὶ τῷ ἀδίκῳ, εἶτ' ἐπακολουθήσαιμεν θεώμενοι ποῖ ἡ ἐπιθυμία ἑκάτερον ἄξει. Πλ. πολ. 359. Δημοφῶντι τὰ δύο τάλαντα καρποῦσθαι ἔδωκεν, ἵνα δοῦν θάτερον διαπράξαιτο, ἢ διὰ τὰ διδόμενα βελτίους αὐτοὺς εἶναι προτρέψειεν, ἢ εἰ κακοὶ γίγνοιντο, μηδεμιᾶς συγγνώμης παρ' ὑμῶν τυγχάνοιεν. Δη. 27, 45.

(A. 7. Auffallend folgt auf den Indicativ ſtatt eines epexegetiſchen Indicativs zuweilen ein Particip. Σχεδόν τι οὕτω διεκείμεθα, ποτὲ μὲν γελῶντες, ἐνίοτε δὲ δακρύοντες. Πλ. Φαίδ. 59. (Δῆμος ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο, μήτε λίαν ἀνεθεὶς μήτε πιεζόμενος. Σόλων 6.) Τούτου ἕνεκα ταύτην ἐποιησάμην τὴν ὑπόθεσιν, ἡγούμενος ἐκ τοῦ παραινεῖν τήν τε διάνοιαν τὴν ἐκείνου μάλιστ' ὠφελήσειν καὶ τὸν τρόπον τὸν ἐμαυτοῦ τάχιστα δηλώσειν. Ἰσ. 15, 69. Vgl. z. Her. 7, 10, 7 u. z. Th. 3, 18, 2.)

A. 8. Aehnlich wie A. 5 findet ſich das Aſyndeton bei lebhaften Aufforderungen und Verſicherungen. Ἱκετεύω ὦ πάππε, δός μοι ἅρξαι αὐτοῦ. Ξε. Κυ. 1, 3, 11. Ἀποκτείνατέ με, οὐ παραιτοῦμαι. Ἀνδ. 1, 32. Τίνι ἐμποδὼν εἰμι; παρίημι, ἀρχέτω, μόνον ἀγαθόν τι ποιῶν ὑμᾶς φαινέσθω. Ξε. ἀν. 5, 7, 10. Ἑκών, ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι. Αἰσ. Προ. 266. Ἥξεις, ἐπείγου μηδέν, εἰς τὸ μόρσιμον. Σο. ἀποσ. 690.

A. 9. Zwei Sätze unverbunden ſchroff neben einander geſtellt können der erſte einen geſetzten Fall, der zweite eine eventuelle Folge ausdrücken. Vgl. § 54, 1, 1. Ἦν λάβῃ μηδὲν φερομένην, δοῦλος αὐτὸς γίγνεται. ἀλλ' ἔλαβεν αἰσχράν· οὐ βιωτόν ἐστ' ἔτι. ἀλλ' ἔλαβεν ὡραίαν τις· οὐδὲν γίγνεται μᾶλλόν τι τοῦ γήμαντος ἢ τῶν γειτόνων. Ἀναξανδρ. 52. Anders Dem. 19, 221.

A. 10. Ein Gegenſatz mit οὔ kann aſyndetiſch eintreten. Weniger ſcharf iſt ἀλλ' οὔ, neben dem ſich auch das nur ablehnende καὶ οὔ findet. Τὸ συνετὸν θεὸς δίδωσιν, οὐχ ὁ πλοῦτος. Εὐ. Ἀλεξ. 16. Ὁ [μὲν] εἰς τὸν ἀσθενῆ τι Πάμφιλε ποιῶν ὑβρίζειν, οὐχ ἁμαρτάνειν δοκεῖ. Φιλιππίδης 27. Τῶν κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτια, ἀλλ' οὐ τὸν θεόν. Πλ. πολ. 379. Ἱστοὶ γυναικῶν ἔργα κοὐκ ἐκκλησίαι. Μέ. μο. 260.

A. 11. Wenn man das Vorhergehende zuſammenfaßt, um etwas Neues anzuknüpfen, gebraucht man ſtatt des gewöhnlichen μὲν οὖν oft bloß μέν, wie Thuk. 1, 55, 1. 110, 2. 2, 102, 5. [vgl. Reg. z. Th. u. μέν.] Statt durch δέ etwas anzuknüpfen ſtellt Xenophon ohne Conjunction das Verbum voran. An. 5, 6, 25. 7, 3, 32. 6, 40; deßgleichen 3, 4, 42. 4, 1, 20. 8, 6, 7 u. a. Mehr Nachweiſungen dort im Regiſter unter Aſyndeton. Vgl. Kr. Stud. 2 S. 113.

2. Parataktiſch angefügt werden Begriffe und Sätze durch copulative und adverſative Conjunctionen, wie *καί, (τέ), οὐδέ, μηδέ; καὶ—καί, τὲ (—) καί, τέ—τέ; εἴτε—εἴτε, οὔτε—οὔτε, μήτε—μήτε; οὔτε—τέ, μήτε—τέ; (μὲν—) δέ, ἀλλά, μέντοι*; ἤ oder, ἤ—ἤ entweder—oder ꝛc.

A. 1. Ueber die Bedeutung dieſer Partikeln einzeln unten § 69; hier nur über mehr oder weniger Gemeinſames eigenthümlicher Verbindungen. Zwar verbindet auch der Grieche gew. nur Gleichartiges; doch weniger ſervil als wir findet er mehrfach Verbindungen die uns als Mißverhältniſſe erſcheinen würden ganz naturgemäß, zumal wenn das Verbundene nur äußerlich, in der Form, verſchieden iſt.

A. 2. Ueber die Verbindung verſchiedener Caſus von Participien § 56, 14, 2. (Sonſt iſt dieſe Verbindung ſelten. So auch die eines bloßen Caſus mit einer Präpoſition und ihrem Subſtantiv.) Κρήνη ἡδέος ὕδατος καὶ ἄφθονος ῥεῖ ἐπ' αὐτῇ τῇ θαλάττῃ. Ξε. ἀν. 6, 2, 4. — Ἀπεκρίνατο διὰ βραχέων τε καὶ αὐτὰ τὰ ἐρωτώμενα. Πλ. Πρω. 336. Τριάκοντα ναῦς ἐξέπεμψαν περὶ τὴν Λοκρίδα καὶ Εὐβοίας ἅμα φυλακήν. Θ. 2, 26, 1.

A. 3. Leicht verbinden ſich verſchiedene Wortarten die ſinnähnliche Verhältniſſe bezeichnen. [Reg. z. Th. u. Her. u. Verbindung.] Ὦ παγκακίστη καὶ γυνή. Εὐ. Βελ. 12. Λόγοισι συμβὰς καὶ θεῶν ἀνώμοτος φίλος γένοιτ' ἄν. Εὐ. Μήδ. 737. Παρεπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τιμωροὶ καὶ νομίζοντες κατασχήσειν ῥᾳδίως τὰ πράγματα. Θ. 4, 2, 2. — Παρῆλθε βαλλόμενός τε καὶ χαλεπῶς. Θ. 1, 63, 1. Καλῶς καὶ ἀληθῆ λέγεις. Πλ. Φαίδ. 79. [z. Th. 8, 48, 6.] Ἐβλασφήμει κατ' ἐμοῦ ταχὺ καὶ πολλὰ καὶ μεγάλῃ τῇ φωνῇ. Δη. 57, 11. Ἀφυλάκτοις τε καὶ ἐξαίφνης ἐπιγενόμενοι διέφθειραν. Θ. 7, 32, 2. Οἱ ἵπποι ἀπεχωλοῦντο ἐν γῇ ἀποκρότῳ τε καὶ ξυνεχῶς ταλαιπωροῦντες. Θ. 7, 27, 4. Προσπίπτει ἄφνω τε καὶ νυκτός. Θ. 3, 30, 2. — Πρὴν ἐξβαλόντες καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος ἐσπάνιζον τροφῆς. Θ. 4, 6, 2. Ἅμα τῷ τειχισμῷ καὶ τοῦ ἦρος εὐθὺς ἀρχομένου ναῦς ἔστειλαν. Θ. 7, 20, 1. Ἐποιήσαντο τὴν ξυμμαχίαν τοῦ χειμῶνος τελευτῶντος ἤδη καὶ πρὸς ἔαρ. Θ. 5, 39, 2. — Πολλῷ θορύβῳ καὶ πεφοβημένοι παρεσκευάζοντο. Θ. 3, 77, 1. [vgl. 3, 58, 3. 4, 18, 1. 69, 3.] Διὰ πολλοῦ θορύβου καὶ ἄσιτοι οἱ πλείους ἀντάνηγοντο. Θ. 7, 40, 3. Ἀπό τε τῆς χώρας ἐτρέφοντο καὶ ἐργαζόμενοι μισθοῦ. Ξε. Ἑλ. 2, 1, 1. [vgl. Th. 3, 25, 2. 4, 26, 3.] Ἀδύνατοι ἦσαν ἀποβῆναι τῶν τε χωρίων χαλεπότητι καὶ τῶν Ἀθηναίων μενόντων. Θ. 4, 12, 2. Ἐγένετο πλούσιος οὐκ ἀπὸ τοῦ αὐτομάτου οὐδὲ δόντος τινός. Πλ. Μέν. 90. — Ἀθηναῖοι ἐψηφίσαντο ναῦς ἑξήκοντα πέμπειν ἐς Σικελίαν καὶ στρατηγούς, βοηθοὺς μὲν Ἐγεσταίοις πρὸς Σελινουντίους, ξυγκατοικίσαι δὲ καὶ Λεοντίνους. Θ. mit d. A. 6, 8, 2 vgl. zu 5, 9, 7. — Ἀπέφαινε πολλὴν εὐπορίαν καὶ φύσει κρείσσονα ἢ τὸ χωρίον. Θ. 4, 3, 2. [vgl. 3, 36, 1.] Ἐπαινούμενοι μᾶλλον ἢ τοῖς ἄλλοις ἅπασι χαίρετε. Ξε. Κυ. 1, 5, 13. Οὐ ναυτικῆς στρατιᾶς μόνον δεῖ, ἀλλὰ καὶ πεζὸν πολὺν ξυμπλεῖν. Θ. 6, 21, 1. Ὁ Πεδάριτος αὐτός τε καὶ τὸ στράτευμα ἔχων προσέβαλε τῷ ἑρύματι. Θ. 8, 55, 3. Παρεβοήθει μετά τε τοξοτῶν οὐ πολλῶν καὶ τοὺς Ἀργείους παραλαβών. Θ. 6, 101, 5. [zu 1, 26, 3.]

A. 4. Einem Caſus wird zuweilen ein Satz angeſchloſſen. Τὸ γνῶθι σαυτόν ἐστιν ἂν τὰ πράγματα ἴδῃς [εἰδῇς Cobet] τὰ σαυτοῦ καὶ τί σοι ποιητέον. Μέ. 293. Δεῖξον τὸ ψήφισμα καὶ τίνες ἐγένοντό μου κατήγοροι. Δείν. 1, 51. Vgl. § 51, 13, 5 u. Th. 6, 63, 3. — Οἱ κίθαρισταὶ σωφροσύνης τε ἐπιμελοῦνται καὶ ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσιν. Πλ. Πρω. 326. Ἔδεισε περί τε τοῖς ἐν Νισαίᾳ Πελοποννησίοις καὶ μὴ τὰ Μέγαρα ληφθῇ. Θ. 4, 70, 1. — Ἐπιμέλειαν ἕξομεν τῶν πρὸς τὰς πόλεις διαπομπῶν ἅμα ἕς τε κατασκοπὴν καὶ ἤν τι ἄλλο φαίνηται ἐπιτήδειον. Θ. 6, 41, 2. — Ἐναυμάχησαν ἀντίπαλα καὶ ὡς αὐτοὺς ἑκατέρους ἀξιοῦν νικᾶν. Θ. 7, 34, 5. — Ἀρετὴ μισθοὺς τῇ ψυχῇ παρέχει ζῶντός τε τοῦ ἀνθρώπου καὶ ἐπειδὰν τελευτήσῃ. Πλ. πολ. 612. [Παρεσκευάζοντο ὥσπερ τε προεδέδοκτο καὶ τῶν Συρακοσίων ἐναγόντων. Θ. 7, 18, 1. [vgl. z. Th. 6, 72, 4.]

A. 5. Leicht ſchließt ſich auch einem Particip ein ſinnverwandter Satz an. Δοκεῖ σοι εὐδαίμων εἶναι ἄνθρωπος δουλεύων τε καὶ ᾧ μηδὲν ἐξεῖη

ποιεῖν ὧν ἐπιθυμοῖ; Πλ. Αν. 207. Ἀθηναῖοι ἐβούλοντο ἐπὶ Σικελίαν πλεύσαντες καταστρέψασθαι, ἄπειροι οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου καὶ ὅτι οὐ πολλῷ τινι ὑποδεέστερον πόλεμον ἀνῃροῦντο ἢ τὸν πρὸς Πελοποννησίους. Θ. 6, 1. [vgl. 4, 126, 1.] [Ἀνελόμενοι τὰ ναυάγια καὶ ὅτι αὐτοῖς οὐκ ἀντέπλεον, διὰ ταῦτα τροπαῖον ἔστησαν. Θ. 1, 54, 4.] Διέβη ναῦς ξυλλέξων καὶ ὅπως ἄλλαι ναυπηγηθείησαν. Ξε. Ἑλ. 1, 3, 17. [z. Th. 1, 73, 1 vgl. 4, 86, 1. 5, 83, 4.] Häufig verband man einen Casus und Sätze mit εἴ τις, wie Th. 3, 21, 1. 35. 4, 69, 3. 128, 3. 5, 3, 3. 6, 32, 2, relative und hypothetische Sätze zu 1, 144, 3.

A. 6. Einem relativen Satze wird zuweilen ein selbständiger angefügt, was auch Göthe u. A. sich öfter erlauben, während man sonst bei einer solchen Verbindung lieber wie auch, während u. ä. gebraucht. [zu Xe. An. 1, 1, 2. vgl. z. Th. 6, 11, 1.] Οὐκ ἤδη ἀνέγκλητος ἂν δικαίως εἴης ἐν τῇ πατρίδι, ἥ σε τιμᾷ καὶ σὺ πράττεις τὰ κράτιστα. Ξε. Ἑλ. 6, 1, 13. — Ἐγὼ ἤδη σοι λέγω ὅτι ἦν ἄλλοι τε μακαριωτάτην ἐνόμιζον εἶναι βιοτὴν καὶ ἐγὼ συνεγίγνωσκον αὐτοῖς, ταύτην καὶ ἐγὼ νῦν ἔχων διάξω. Ξε. Κυ. 7, 2, 27. — Ἀνόητον ἐπὶ τοιούτους ἰέναι ὧν κρατήσας τε μὴ κατασχήσει τις καὶ μὴ κατορθώσας μὴ ἐν τῷ ὁμοίῳ καὶ πρὶν ἐπιχειρῆσαι ἔσται. Θ. 6, 11, 1. — (Δαρεῖον Κῦρος μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς ἧς αὐτὸν σατράπην ἐποίησε καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων ὅσοι εἰς Καστωλοῦ πεδίον ἀθροίζονται. Ξε. ἀν. 1, 1, 2.) — Κακίᾳ τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖ (τὸ πρᾶγμα), οἵτινές σε οὐχὶ ἐσώσαμεν οὐδὲ σὺ σαυτόν. Πλ. Κρίτ. 45. — (Οὐδὲν προσδεόμεθα ἐπαινέτου ὅστις ἕπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὀπόνοιαν ἡ ἀλήθεια βλάψει. Θ. 2, 41, 2. vgl. Lys. 14, 17.)

A. 7. Von selbst versteht es sich daß man verschiedene Tempora und Modi verband, wenn es sinngemäß war. Οὐ πειθόμεθα αὐτοῖς ἀμφότερα, ἀλλ' εἰ θεοῦ ἦν, οὐκ ἦν, φήσομεν, αἰσχροκερδής. Πλ. πολ. 408. Πολλάκις ἔβλαψε δόξα μεγάλα τ' εἴργασται κακά. Εὐ. Μήδ. 293. Ἰδοῦσα ἔσχον θαῦμα καὶ περισκοπῶ. Σο. Ἠλ. 897. Vgl. § 53, 2. — Ἐγὼ ἐσκέφθαι φημὶ καὶ οὐκ ἂν ἀρνηθείην. Δη. 21, 191. Σὺ μήτ' ἀποτρέπου τἀληθὲς οὔτε κατατενῶ λίαν ἐγώ. Εὐ. Ἰφ. Α. 336. Οὐ κακὸν ἔχω μηδ' ἔχοιμι. Ἀντιφάνης 176, 2. Ἐγὼ ἀναιδὴς οὔτ' εἰμὶ μήτε γενοίμην. Δη. 8, 68. Vgl. z. Th. 1, 131, 2. 2, 44, 1. 3, 113, 2. Kr. z. Dion. p. XLVII u. § 54, 8, 2.

A. 8. Leicht ist in manchen Verbindungen der Uebergang von einem Infinitiv zu einem selbständigen Satze. Λείπουσιν οἱ βάρβαροι ἀμαχητὶ τὸν μαστόν, ὥστε θαυμαστὸν πᾶσι γενέσθαι, καὶ ὀπώπτευον δεῖσαι αὐτούς. Ξε. ἀν. 4, 2, 15. Τὰ ἐπιτήδεια ἀνακεκομισμένοι ἦσαν, ὥστε μηδὲν αὐτόθεν λαμβάνειν τοὺς Ἕλληνας, ἀλλὰ διετράφησαν τοῖς κτήνεσιν ἃ ἐκ τῶν Ταόχων ἔλαβον. Ξε. ἀν. 4, 7, 17. Ξυνέβη ὥστε πολέμου μὲν μηδὲν ἔτι ἅψασθαι μηδετέρους, πρὸς δὲ τὴν εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον. Θ. 5, 14, 1. [zu 2, 47, 2. vgl. 8, 5, 2.]

(A. 9. Auffallender sind manche Uebergänge von einem Particip zu einem bestimmten Verbum. [z. Th. 1, 57, 2.] Νόσῳ ἐπιέζοντο κατ' ἀμφότερα, τῆς τε ὥρας τοῦ ἐνιαυτοῦ ταύτης οὔσης ἐν ᾗ ἀσθενοῦσιν ἄνθρωποι μάλιστα καὶ τὸ χωρίον ἅμα ἐν ᾧ ἐστρατοπεδεύοντο ἑλῶδες καὶ χαλεπὸν ἦν. Θ. 7, 47, 2. Παρῆν ὁ Γαδάτας ἄλλα τε δῶρα πολλὰ καὶ παντοῖα φέρων καὶ ἄγων, ὡς ἂν ἐξ οἴκου μεγάλου, καὶ ἵππους δὲ ἦγεν. Ξε. Κυ. 5, 4, 29.)

A. 10. Von der Construction mit ὅτι oder ὡς daß geht man zuweilen zu der mit dem Infinitiv über; selten umgekehrt. Ἐξηγγέλθη αὐτοῖς ὡς εἴη Ἀπόλλωνος ἔξω τῆς πόλεως ἑορτή, καὶ ἐλπίδα εἶναι ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω. Θ. 3, 3, 3. Ἔλεγε τοῖς προέδροις ὅτι ἐσβολὴ ἐς τὴν Ἀττικὴν ἔσται· προαποπεμφθῆναί τε αὐτὸς τούτων ἕνεκα. Θ. 8, 25. Vgl. Lysias 10, 15. [Διεβόων ὡς φθείρεται τὰ πράγματα· τὸν δ' αὖ Τισσαφέρνην τάς τε ναῦς οὐ κομίζειν καὶ ὅτι κακοῖ τὸ ναυτικόν. Θ. 8, 78, 2 u. dort die A.]

§ 60. Ptotik.

1. Als Subject des Satzes steht der Nominativ vgl. § 45, 2; der Accusativ beim Infinitiv gew. nur dann wenn es ein von dem Subject des Hauptverbums verschiedener Begriff ist. Vgl. § 55, 2 mit den A.

A. 1. Ueber eigenthümliche Erscheinungen des No. § 45, 2, 1—4 und § 56, 9, 4.

A. 2. Ueber die Form des No. für die des Vo. § 45, 2, 5.

2. Das Prädicat steht in demselben Casus in welchem das Nomen von dem es ausgesagt wird steht oder stehen müßte.

A. 1. Es kann nämlich jenes Nomen oft fehlen, besonders beim Infinitiv nach § 55, 2, 4 u. 6 vgl. § 51, 6, 3 u. 4.

A. 2. Ueber den No. und Ac. bei ὄνομά ἐστιν ἐμοί § 48, 3, 6. Ueber den Prädicativsgenitiv § 57, 3, 1. 3 u. 4; beim absoluten Ge. § 47, 4; über den prädicativen Ge. § 47, 6 vgl. eb. 8 A. 2 u. 9 A. 2.

A. 3. Selbst numerische Begriffe mit oder ohne Substantiv können sich, statt im Ge. zu stehen, ihrem Nomen im Casus assimiliren vgl. § 47, 8, 2. Nothwendig ist diese Assimilation in dem Falle § 47, 28, 4. vgl. 50, 11, 1 u. 57, 3. Ἡ τάξις ἦν ἑκατὸν ἄνδρες. Ξε. Κυ. 2, 1, 25. Τὸ ὁπλιτικὸν ἠθροίσθη δισχίλιοι. Θ. 5, 6, 4. (Οἱ Ἀρκάδες παρῆσαν πολλοὶ ὁπλῖται. Ξε. Ἑλ. 6, 5, 16.) Φόρον τέσσαρα τάλαντα ἔφερον. Θ. 4, 57, 4. 2, 13, 3. Ξέρξης ἔστειλε πεντήκοντα μυριάδας στρατιάν. Λυ. 2, 21. [vgl. Xe. An. 3, 5, 16.] (Τάφρος ἦν ὀρυκτὴ βαθεῖα, τὸ εὖρος ὀργυιαὶ πέντε. Ξε. ἀν. 1, 7, 14. vgl. An. 4, 5, 4. vgl. Lex. zu Xen. An. in εὖρος.)

3. Das Object bestimmen die Regeln § 46—48.

A. 1. Ueber die Abweichung durch Assimilation § 51, 10 u. 12.

A. 2. Was rücksichtlich der Rection von Simplicien bemerkt ist gilt auch von Compositen, so weit es nicht ausdrücklich beschränkt worden. Also z. B. wie φεύγειν τινά so auch ἀποφεύγειν τινά ꝛc. Ueber die Casusbestimmungen durch Präpositionen s. unter diesen § 68.

4. Zu mehrern Verben gehörige Substantive oder Pronomina werden bei etwaniger Verschiedenheit der bezüglichen Verhältnisse dem nächsten Verbum angefügt, oft auch da wo dieses eben nicht übergewichtliche Bedeutung hat.

[A. 1. Selten zur Erscheinung kommt die Regel, wenn das Nomen Ein Mal im No., dann in einem obliquen Casus erforderlich ist. Ἡμεῖς εἰ μέλλομεν τούτους εἴργειν, σφενδονητῶν τὴν ταχίστην δεῖ (erg. ἡμῖν). Ξε. ἀν. 3, 3, 16 u. 2, 5, 41.]

[A. 2. Noch auffallender richtet sich sogar nach einem parentheſenartigen Satze mit γάρ ein vorangehendes Nomen, wenn es dem Begriffe nach diesem mit angehört, auch in der Construction nach demselben, statt sich dem Hauptsatze anzufügen. Ein Sprachgebrauch der sich jedoch auf den Ionismos und einige Stellen des Thuk. beschränkt. (z. Th. 1, 72, 1.) Τῶν Σαμίων ἦσαν γάρ τινες οἳ οὐχ ὑπέμειναν, ξυνθέμενοι ξυμμαχίαν διέβησαν ὑπὸ νύκτα ἐς Σάμον. Θ. 1, 115, 4.]

5. Wenn zwei verbundene Verba ein gemeinsames Object haben, so setzt es der Grieche auch dann wenn beide verschiedene Casus regieren, regelmäßig nur ein Mal, gewöhnlich in dem Casus welchen das zunächst stehende Verbum erfordert. [Kr. z. Dion. p. 119. vgl. p. 17.]

A. 1. So bei einer Verbindung durch καί, οὐδέ, οὔτε — οὔτε. (Ἐνδεής ἐστι καὶ οὐκ ἔχει ὁ Ἔρως κάλλος. Πλ. συ. 201.) — Πρὸς τοὺς ἐπιπλήττοντας καὶ νουθετοῦντας ὑμᾶς οὕτω διατίθεσθε δυσκόλως ὥσπερ πρὸς τοὺς κακόν τι τὴν πόλιν ἐργαζομένους. Ἰσ. 8, 14, Φαίνεται ὁ δῆμος ταῖς ἄλλαις πολιτείαις μαχόμενος καὶ καταλύων. Ἰσ. Παναθ. 148. — Οὐ δεῖ τοῖς παιδοτρίβαις ἐγκαλεῖν οὐδ' ἐκβάλλειν ἐκ τῶν πόλεων. Πλ. Γό. 460. — Οὐχ ἑώρακα Πρωταγόραν πώποτε οὐδ' ἀκήκοα οὐδέν (erg. αὐτοῦ). Πλ. Πρω. 310. Διέγνωκας ὅτι πάντως συνεστέον Πρωταγόρᾳ, ὃν οὔτε γιγνώσκεις οὔτε διείλεξαι οὐδεπώποτε, σοφιστὴν δ' ὀνομάζεις. Πλ. Πρω. 313. Ἵππον οὐκ ἂν οἰηθείμεν ὃν οὔθ' ὁρῶμεν οὔθ' ἁπτόμεθα. Πλ. Θε. 195.

A. 2. Am häufigsten erscheint die Regel bei Verbindung eines Particips und seines bestimmten Verbums. Ἀνόητον ἐπὶ τοιούτους ἰέναι ὧν κρατήσας μὴ κατασχήσει τις. Θ. 6, 11, 1. (Λύπη οὐ ἂν ἐθὰς γενόμενος ἀφαιρεθῇ τις. Θ. 2, 44, 2.) Τοῖς θεοῖσι χρὴ θύοντας αἰτεῖν τἀγαθά, μαντείας δ' ἐᾶν. Εὐ. Ἑλ. 754. Τεθνηκόσιν ἔλεγεν, οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα. Ἀρ. βά. 1175. Τὰ τῶν θεῶν ἔχοντες ἐπιμελούμεθα. Εὐ. Φοί. 556.

A. 3. Doch kann auch das entferntere Verbum, wenn es bedeutsamer ist, den Casus des gemeinsamen Objects bestimmen; dies selbst bei einer Verbindung mit καί oder μὲν—δέ. Βάλλειν δεήσει ἀναιρουμένους ταῖς βώλοις. Ξε. Κυ. 2, 3, 17. — Ἐγὼ ὑμᾶς ἐγείρων καὶ πείθων καὶ ὀνειδίζων ἕνα ἕκαστον οὐδὲν παύομαι. Πλ. ἀπ. 30. Πᾶς πάντα καὶ διεδίδαξε καὶ ἐπέπληττε τὸν μὴ καλῶς αὐλοῦντα. Πλ. Πρω. 327. — Ἐπιτιμᾷ καὶ ἀποδοκιμάζει τῶν ἀρχόντων τισίν. Λυ. 6, 33. Ἀντεῖπον καὶ ἐλοιδόρησα ἐκείνῳ ὧν ἦν ἄξιος. Ἀνδ. 1, 67. — Φαίνεται ἡ ψυχὴ τὰ μὲν ἀπειλοῦσα, τὰ δὲ νουθετοῦσα ταῖς ἐπιθυμίαις. Πλ. Φαίδ. 94. [Vgl. Pflugk zu Eur. Herakl. 227 u. Lobeck zu Soph. Ai. 476 S. 268.]

A. 4. Von selbst versteht es sich daß, wenn die verbundenen Verba denselben Casus regieren, das gemeinsame Object nur Ein Mal gesetzt wird. Ἐν φρονίμοις περὶ τῶν μεγίστων τἀληθῆ εἰδότα λέγειν ἀσφαλές. Πλ. πολ. 450. Ἡ τοῦ σώματος νοσοτροφία ἀπείργουσα αὐτὸν τῶν πολιτικῶν κατέχει. Πλ. πολ. 496.

A. 5. Auch von einer Präposition regiert kann ein Nomen als Object (als bloßer Ac.) zu einem Verbum mit gehören. [ξ. Th. 1, 114, 1.] Μέρος τι πέμψας πρὸς τὸ φρούριον αἱρεῖ. Θ. 7, 3, 4. Οὐδὲν φροντίζει ἐξ ὁποίων ἄν τις ἐπιτηδευμάτων ἐπὶ τὰ πολιτικὰ ἰὼν πράττῃ. Πλ. πολ. 558.

A. 6. Ueber relative und interrogative Objecte § 51, 9, 2. 17 A. 4 ff.

6. Wenn einem relativen Satze ein zweiter durch eine copulative oder adversative Conjunction angeschlossen wird, so pflegt man das Relativ bei diesem nicht zu wiederholen; sondern läßt es entweder ergänzen oder dafür ein entsprechendes demonstratives oder erforderlichen Falls ein persönliches Pronomen eintreten. *Ἆρα μετ' ἐκείνου ἡμῖν βιωτὸν διεφθαρμένου ᾧ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν; Πλ. Κρίτ.* 47.

A. 1. Am regelmäßigsten ist die Auslassung, wenn ein No. zum zweiten Satze erforderlich wäre. Δοκεῖ τοῖς πολλοῖς ἀνθρώποις ᾧ μηδὲν ἡδὺ τῶν τοιούτων μηδὲ μετέχει αὐτῶν οὐκ ἄξιον εἶναι ζῆν. Πλ. Φαίδ. 65. Τούτοις ἅπασιν ἐκεῖνοι οἷς τι μέλει τῆς αὑτῶν ψυχῆς, ἀλλὰ μὴ σώματα πλάττοντες ζῶσι χαίρειν εἰπόντες οὐ κατὰ ταὐτὰ πορεύονται αὐτοῖς. Πλ. Φαίδ. 82. — Ἡμᾶς, οἷς κηδεμὼν μὲν οὐδεὶς πάρεστιν, ἐστρατεύσαμεν δ' ἐπ' αὐτόν, τί ἂν οἰόμεθα παθεῖν; Ξε. ἀν. 3, 1, 17.

A. 2. Als obliquer Casus wird beim zweiten Satze das persönliche Pronomen nothwendig, das demonstrative (gew. ein Casus von αὐτός), wenn die Deutlichkeit es erfordert, gesetzt. Οἰκία πολὺ μείζων ἡ ὁμετέρα τῆς ἐμῆς, οἵ γε οἰκίᾳ μὲν χρῆσθε γῇ τε καὶ οὐρανῷ, κλῖναι δ' ὑμῖν εἰσιν ὁπόσαι γένοιντ' ἂν εὐναὶ ἐπὶ τῆς γῆς. Ξε. Κυ. 5, 2, 15. Καὶ νῦν τί χρὴ δρᾶν,

ὅστις ἐμφανῶς θεοῖς ἐχθαίρομαι, μισεῖ δέ μ' Ἑλλήνων στρατός; Σο. Αἴ. 457. — Ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει αἰσχρ' ἐστὶν αὐτοῦ, τοῦτον οὐκ αἰνῶ ποτε. Εὐ. Παλ. 6. Φήσουσί τινές με διεξιέναι τοὺς νόμους οὓς Λυκοῦργος μὲν ἔθηκε, Σπαρτιᾶται δ' αὐτοῖς χρώμενοι τυγχάνουσιν. Ἰσ. 12, 152. Οὐκ ἐπιτρέψομεν ὧν φαμεν κήδεσθαι καὶ δεῖν αὐτοὺς ἄνδρας ἀγαθοὺς γενέσθαι γυναῖκα μιμεῖσθαι ἄνδρας ὄντας. Πλ. πολ. 395. — (Ἃ δι' ἑτέρων ἐπράχθη καὶ οὐ χαλεπὸν ἦν περὶ τούτων πυθέσθαι, ἐτόλμησε ψευσάμενος τέτταρσι καὶ εἴκοσι μναῖς τοὺς αὑτοῦ θυγατριδοῦς ζημιῶσαι. Λυ. 32, 27. Πολλαὶ πράξεις ἤδη τοιαῦται γεγόνασιν ἃς ἐν ἀρχῇ μὲν ἅπαντες ὑπέλαβον εἶναι συμφορὰς καὶ τοῖς παθοῦσι συνηχθέσθησαν, ὕστερον δὲ τὰς αὐτὰς ταύτας ἔγνωσαν μεγίστων ἀγαθῶν αἰτίας γεγενημένας. Ἰσ. 6, 103.) — Ἀριαῖος, ὃν ἡμεῖς ἠθέλομεν βασιλέα καθιστάναι καὶ ἐδώκαμεν καὶ ἐλάβομεν πιστὰ μὴ προδώσειν ἀλλήλους, καὶ οὗτος νῦν ἡμᾶς κακῶς ποιεῖν πειρᾶται. Ξε. ἀν. 3, 2, 5.

(A. 3. Ein ähnlicher Gebrauch findet sich auch bei Verbindung eines Particips mit einem Verbum. Βούλομαί σοι κἀκείνας τὰς εὐφροσύνας δηλῶσαι ὅσαις ἐγὼ χρώμενος, ὅτ' ἦν ἰδιώτης, νῦν, ἐπειδὴ τύραννος ἐγενόμην, αἰσθάνομαι στερόμενος αὐτῶν. Ξε. Ἱέρ. 6, 1.)

[A. 4. Seltener erscheint auch im zweiten Satze ein Relativ, wie Her. 3, 40, 2, Thuk. 2, 43, 3. 44, 1. 4, 92, 2. 6, 4, 3. 89, 5. 101, 1. Plat. Euthyd. 278, e; dagegen in der Anaphora Od. β, 131, Eur. Bakch. 443 u. öfter.]

7. Zu ergänzen ist im Griechischen sehr häufig sowohl das Subject als das Object, beide besonders wenn sie als wenig betonte persönliche Pronomina, einen kurz vorher erwähnten Begriff erneuernd, eintreten würden, aus dem Zusammenhange sich von selbst ergebend: er, sie, es; ihn, sie, es; demselben, derselben ꝛc. [Register zu Kr.s Ausgaben u. Subject und Object.]

A. 1. Ueber das Subject der dritten Person § 51, 5, 3. Auch das zu ergänzende Object ist gewöhnlich ein Pronomen der dritten Person: αὐτόν, αὐτῷ ꝛc. Von der ersten und zweiten Person fehlt häufig nur der (im Verbum enthaltene) Nominativ vgl. § 51, 1; selten ein obliquer Casus. Πολλοὶ οὕτω πρός τινας ἔχουσιν ὥστε κακῶς μὲν πράττοντας (erg. αὐτούς) μὴ δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσιν (erg. αὐτοῖς), εὐτυχούντων δὲ (erg. αὐτῶν) λυπεῖσθαι. Ξε. ἀπ. 3, 9, 8. — Ἐμπιπλὰς ἁπάντων τὴν γνώμην ἀπέπεμπεν (erg. αὐτούς). Ξε. ἀν. 1, 7, 8. Ἐπαγγειλαμένου τοῦ Ἀγησιλάου τὴν στρατείαν διδόασιν (erg. αὐτῷ) οἱ Λακεδαιμόνιοι ὅσαπερ ᾔτησεν. Ξε. Ἑλ. 3, 4, 3. Αἱ δοκοῦσι κάλλισται τῶν ἐπιστημῶν καὶ ἐμοὶ πρέποιεν ἂν μάλιστα ἐπιμελούμενῳ (erg. αὐτῶν), ταύτας μοι ἐπιδείκνυε. Ξε. οἰκ. 4, 1. Ἤν τις μαλακύνηται, μὴ ἐπιτρέπετε (erg. τοῦτο αὐτῷ). Ξε. Κυ. 3, 2, 5. Τοῦτο ἔμοιγε φαίνεται ὅτι οὐ πᾶσά γε καρτερία ἀνδρία σοι φαίνεται, τεκμαίρομαι δὲ (erg. τοῦτο) ἐνθένδε. Πλ. Λάχ. 192. — Μὴ οἷόν τε μόνα ἡμῖν ἀγαθὰ ὄντα ὑμῖν παραδώσειν (erg. ἡμᾶς). Ξε. ἀν. 2, 1, 12. Vgl. § 47, 4, 3 und § 51, 6, 3 u. 4.

A. 2. Aehnlich ist zuweilen aus einem (meist vorhergehenden) Adjectiv ein Prädicatsaccusativ zu ergänzen. Ποιητὴς ὁ Ἔρως σοφὸς οὕτως ὥστε καὶ ἄλλον ποιῆσαι (erg. σοφόν). Πλ. συ. 196. Ξύνισμεν ὡς οἱ σοφισταὶ αὐτοί τε ἀντειπεῖν δεινοὶ τούς τε ἄλλους ὅτι ποιοῦσιν (erg. δυνατοὺς) ἅπερ αὐτοὶ δυνατοί. Πλ. συ. 232.

(A. 3. Bei manchen Verben schwebt ein Nomen vor dessen Begriff sie selbst anregen. So zuweilen auch ein Nomen mit einer Präposition. Αὐτός τε ἔσπενδε καὶ τοῖς νεανίσκοις ἐγχεῖν (erg. οἶνον) ἐκέλευσεν. Ξε. ἀν. 4, 3, 13. Ξενοφῶν ὑπελάσας ἤρετο εἴ τι παραγγέλλοι· ὁ δ' ἐπιστήσας (erg. τὸν ἵππον) εἶπεν. Ξε. ἀν. 1, 8, 15. [Dial. Sy. A. 4] Παρήγγειλε τοὺς τοξότας ἐπιβεβλῆσθαι (erg. τὰ τοξεύματα) ἐπὶ ταῖς νευραῖς. Ξε. ἀν. 5, 2, 12. — Τῶν ἱππέων τῶν μὲν καταβεβηκότων (erg. ἀπὸ τῶν ἵππων), τῶν δ' ἔτι ἀναβαινόντων (erg. ἐπὶ τοὺς ἵππους) ἐπελαύνουσιν. Ξε. 5, 4, 39.)

A. 4. Bei andern Verben kann ein ihnen sinnverwandtes Nomen als Object gedacht werden. Πέμπων (erg. ἄγγελον) τὰ ὅπλα παραδιδόναι ἐκέλευεν. Xe. ἀν. 2, 3, 1. Αὐτόμολοι ἀπήγγελλον (erg. ἀγγελίαν) Κύρῳ περὶ τῆς στρατιᾶς. Xe. ἀν. 1, 7, 2. Ὁρῶσιν οἱ διδόντες εἰς τὰ χρήματα. Eu. Hel. 7. Ὅταν ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων; Eu. Or. 667. Vgl. Xe. Kyr. 3, 1, 34 u. § 52, 1, 2.

A. 5. Bei einigen Verben ſchweben ganz unbeſtimmte ſachliche Objecte vor. Vgl. § 52, 1, 5. Θεράπευε τὸν δυνάμενον, ἄνπερ νοῦν ἔχῃς. Mé. μο. 244. Τὰ μὴ δυνάμενα τῶν ὑποζυγίων ἥρπαζον. Xe. ἀν. 4, 5, 12. Οὐ παντελῶς δεῖ τοῖς πονηροῖς ἐπιτρέπειν, ἀλλ' ἀντιτάττεσθαι. Mé. 8.

A. 6. Aehnlich kann ein allgemeiner perſönlicher Begriff, wie τινά, ἀνθρώπους als Object bei einem geſetzten Prädicat vorſchweben. Τὰ κακῶς τρέφοντα χωρὶ' ἀνδρείους ποιεῖ. Mé. 62. Τὸ μὲν θάρσος ἀμέλειάν τε καὶ ῥᾳθυμίαν καὶ ἀπείθειαν ἐμβάλλει, ὁ δὲ φόβος προσεκτικωτέρους τε καὶ εὐπειθεστέρους καὶ εὐτακτωτέρους ποιεῖ. Xe. ἀπ. 3, 5, 5. Vgl. § 52, 1, 3 und 55, 2, 6.

8. In einzelnen Verbindungen ſtehen Präpoſitionen mit ihrem Caſus im Verhältniſſe eines bloßen Caſus: *περὶ εἴκοσιν ἀπέθανον, ἀπέκτειναν* ungefähr zwanzig fielen, tödteten ſie.

A. 1. So gebrauchte man bei Zahlen εἰς gegen und περὶ ungefähr mit dem Ac. allgemein im Verhältniſſe eines No., Ac. und Subjectsgenitivs. Συνεβοήθησαν εἰς εἴκοσι μάλιστα ἱππέας. Θ. 7, 30, 3. Ἀπέθανον αὐτῶν περὶ τριακοσίους. Xe. Hel. 4, 6, 11. Ξυνελέγησαν ὁπλῖται τῶν Λακεδαιμονίων ἐς ἑξακοσίους. Xe. Hel. 4, 2, 16. — Διέφθειραν ἐς ὀκτακοσίους. Θ. 7, 32, 2. — (Περιτυγχάνουσι τοῖς λελυμένοις, ὡς περὶ ἑκατὸν οὐσιν. Xe. Hel. 5, 4, 14.) — Ἤδη συνειλεγμένων ὡς περὶ ἑπτακοσίους λαβὼν αὐτοὺς καταβαίνει. Xe. Hel. 5, 4, 5. Ἦν κατάπληξις παρὰ τοῖς πολιορκουμένοις, καίπερ ὄντων τῶν μισθοφόρων εἰς μυρίους. Πολ. 1, 42, 11. Ueber ἀμφί Kr.s Lex. zu Xe. An. u. ὁ, ἡ, τό 8, c.

[A. 2. Aehnlich findet ſich ἐπὶ δέκα σταδίους eine Strecke von zehn Stadien als No. und als Ac., auch mit einem davon regierten Ge. Man denke ſich dies wie ἐπὶ δέκα σταδίους τι, entſprechend einem τὸ ἐπὶ δ. στ. [Krit. Anal. 1 S. 157. vgl. z. Th. 6, 34, 7.] Κατεσκάφη τῶν τειχῶν τῶν μακρῶν ἐπὶ δέκα σταδίους ἑκατέρου. Ly. 13, 8. — Ἦν ἀντὶ τοῦ ἐπὶ δέκα στάδια τῶν μακρῶν τειχῶν διελεῖν ὅλα τὰ μακρὰ τείχη διασκάψαι. Ly. 13, 13. Προυκαλοῦντο τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθελεῖν ἑκατέρου. Xe. Hel. 2, 2, 14.]

[A. 3. Eben ſo gebraucht beſonders Thuk. ἐπὶ πολύ eine weite Strecke hin, ἐπὶ μέγα einen großen Theil. Vgl. § 68, 42, 1. Ἀπέφαινεν ἐρῆμον ὂν τὸ χωρίον αὐτό τε καὶ ἐπὶ πολὺ τῆς χώρας. Θ. 4, 3, 2. (Reg. z. Th. u. πολύς.) Ἐσεσιδήρωτο ἐπὶ μέγα τοῦ ξύλου. Θ. 4, 100, 2. z. Th. 2, 76, 3.]

[A. 4. Aehnlich findet ſich beſonders bei Thuk. auch das diſtributive κατά mit dem Ac., z. B. im καθ' ἑκάστους und καθ' ἕκαστον, im Verhältniſſe eines (Ac.) No. od. Da.: die, den einzelnen, im Einzelnen; κατὰ δέκα je zehn. [z. Th. 4, 32, 3. 47, 2.] Ἐνθυμεῖσθε καθ' ἑκάστους τε καὶ ξύμπαντες. Θ. 7, 64, 2. Βραχυτάτῳ ἂν κεφαλαίῳ, τοῖς τε ξύμπασι καὶ καθ' ἕκαστον, τῷδ' ἂν μὴ προέσθαι ἡμᾶς μάθοιτε. Θ. 1, 36, 4. Ὁ Νικίας κατά τε ἔθνη, ἐπιπαριὼν ἕκαστα, καὶ ξύμπασι τοιάδε παρεκελεύετο. Θ. 6, 67, 4.]

9. Ueber den Infinitiv in Caſusverhältniſſen § 50, 6, 1—9.

10. Als Caſus erſcheinen häufig auch Sätze.

A. 1. Selbſtändige Sätze in der Regel nur wenn durch den Artikel ſubſtantivirt nach § 50, 6, 10; relative meiſt ohne denſelben nach § 51, 13, 1—6, ſelten mit dem Artikel § 50, 8, 20. Aehnlich finden ſich auch hypothetiſche oder temporale Sätze. Vgl. § 59, 2, 5 E. Βίος ἐστὶν ἄν τις τῷ βίῳ χαίρῃ βιῶν. Mé. μο. 656. Τὸ ἐχυρὸν τοῖς ξυναγωνιουμένοις οὐ τὸ εὔνουν τῶν ἐπικαλεσαμένων φαίνεται, ἀλλ' ἢν τῶν ἔργων τις δυνάμει πολὺ προὔχῃ. Θ. 5, 109. Σοφιστῇ μισθὸς κάλλιστός ἐστι καὶ μέγιστος ἢν τῶν μαθητῶν τινες καλοὶ κἀγαθοὶ καὶ φρόνιμοι γένωνται. Is. 15, 220. — Φιλανθρωπίᾳ οὐκ ἀφαιρήσεσθε ἤν τι ἐᾶτε αὐτοὺς ἔχειν. Xe. Ky. 7, 5, 73. — Τὸ σπεύδειν σοι καὐτῷ παραινῶ κεἴ (καὶ εἴ) τινος κήδει πέρι. So. Ph. 6, 20. — (Δουλοῖ ἄνδρα ὅταν ξυνειδῇ μητρὸς ἢ πατρὸς κακά. Eu. Ip. 424. Vgl. 3, 88, 124.)

A. 2. In ſolchen Verbindungen findet ſich zuweilen εἴ τις ohne Verbum, als welches bald εἶναι zu ergänzen, bald das Verbum des Hauptſatzes wiederholt zu denken iſt. Von dieſer Weiſe aus iſt wie ὅστις, ὁπότερος auch εἴ τις völlig adjectiviſch geworden: ὅτου δὴ oder εἴ του πείθοντος eig. ſ. v. a. πείθοντος ὅστις δὴ ἔπειθε, dann ſchlechtweg gleich mit πείθοντός τινος. Vgl. § 51, 15, 1 u. z. Th. 4, 128, 3. 7, 21, 5. Τῶν νέων τινὰ αἱρήσει, Θεαίτητον τόνδε ἢ καὶ τῶν ἄλλων εἴ τίς σοι κατὰ νοῦν. Pl. So. 217. — Οἱ ἄλλοι ἀπώλοντο ὑπό τε τῶν πολεμίων καὶ τῆς χιόνος καὶ εἴ τις νόσῳ. Xe. ἀν. 5, 3, 4. Οὐκ ἀπέθανον αὐτῶν πλὴν εἴ τις ἐν τῇ ξυμβολῇ ὑπὸ Τεγεατῶν. Xe. Hel. 4, 2, 21. [vgl. Th. 4, 26, 3.] — Πάντας ἐξῆγεν, ἐλαύνοντας βοῦς, αἶγας, οἷς, σῦς καὶ εἴ τι βρωτόν. Xe. Ku. 5, 2, 5. — (Πολεμοῦνται ἀσαφῶς ὁποτέρων ἀρξάντων. Θ. 4, 20, 3. Ἐξῆν ὁποτεροισοῦν προκαλεσαμένοις διαμάχεσθαι. Θ. 5, 41, 2. Vgl. 51, 15, 2.)

Zweiter Abſchnitt: Von den Sätzen.

---

§ 61. Subject und Prädicat.

I. Das Subject an ſich.

1. Das Subject eines Satzes iſt entweder perſönlich oder unperſönlich. Das perſönliche Subject der erſten und zweiten Perſon wird, wenn es nicht betont iſt, bloß durch die Form des Verbums ausgedrückt. Vgl. § 51, 1 u. 60, 7, 1.

2. Für die erſte Perſon des Singulars gebrauchte man auch, in der Proſa jedoch ſelten, die erſte Perſon des Plurals.

A. 1. Dies geſchah urſprünglich wohl in ſofern der Sprechende ſeine Angehörigen mit betheiligt dachte. [Iſokr. 12, 16. 21, Her. 7, 160, 2.] Doch bald erloſch dieſe Beziehung und es finden ſich nicht bloß ſehr plötzliche Wechſel beider Numeri, ſondern auch (bei Tragikern) auffallende Vermiſchungen. Ὡς Κῦρος ἐπὶ τὸ φιλεῖσθαι δοκεῖ ἡμῖν ἐλθεῖν, τοῦτο πειρασόμεθα διηγήσασθαι. Xe. Ku. 8, 1, 48. — (Οὐ δικαίως. ἦν θάνω, θανούμεθα. Eu. Trφ. 304.) — Ἥλιον μαρτυρόμεθα ὁρῶσ' ἃ ὁρᾶν οὐ βούλομαι. Eu. Hp. μ. 858. Vgl. Lobeck zu So. Ai. 191 p. 152.

A. 2. Eben ſo finden ſich auch die obliquen Caſus von ἡμεῖς für die von ἐγώ. Οὐδ' ἀμελεῖν ἡμῶν ἐθέλουσιν, ἀλλ' ἀεί τι φλαῦρον περὶ ἐμοῦ λέγουσιν. Is. 12, 16.

3. Die zweite Person des Singulars wird auch, gleichsam idell, an jeden bezüglichen Hörer oder Leser gerichtet, für unser man gebraucht.

A. 1. Dieser Gebrauch ist bei Weitem nicht so ausgedehnt wie im Lateinischen, meist beschränkt auf Verbindungen wie εἶδες ἄν cerneres, man hätte sehen können, ἠγήσω ἄν man hätte glauben sollen, ἡγήσαιο ἄν credideris, man möchte glauben, u. ä. Vgl. § 54, 3, 10. (Daneben τις, wie Xe. Kyr. 7, 1, 38 u. z. An. 1, 5, 8.) Ὧν ζῶντες ἠγγελμένοι ἦσαν οἱ προσήκοντες, ὀλίγους ἂν εἶδες. Xe. Ko. 6, 4, 16. Ἐπέγνως ἂν ἐκεῖ οὐδένα οὔτε ὀργιζόμενον κραυγῇ οὔτε χαίροντα ὑβριστικῶς γέλωτι, ἀλλ' ἰδὼν ἂν αὐτοὺς ἡγήσω τῷ ὄντι ἐς κάλλος ζῆν. Xe. Ko. 8, 1, 33. Ὁρῶν ταῦτα ἡγήσαιο ἂν Λακεδαιμονίους μόνους τῷ ὄντι τεχνίτας τῶν πολεμικῶν εἶναι. Xe. Lak. π. 13, 5. [Ἐν ἴσῳ χρόνῳ ἄλλῳ ἥξεις εἰς τοὺς Αὐτομόλους ἐν ὅσῳπερ ἐξ Ἐλεφαντίνης ἦλθες ἐς τὴν μητρόπολιν τῶν Αἰθιόπων. Ἡρ. 2, 30, 1.]

(A. 2. Aehnlich findet sich auch εἰπέ μοι nach § 54, 4, 3. Εἰπέ μοι τί τοῦτ' ἀπεῖλεῖ τοῦπος ἄνδρες δημόται. Ἀρ. Ἀχ. 328. Vgl. § 63, 4, 1.)

4. Das Subject der dritten Person wird wo wir ein unbetontes er, sie, es, sie, auf einen vorhergehenden Begriff bezogen, gebrauchen, gleichfalls nicht gesetzt. Vgl. § 60, 7, 1.

(A. 1. Sogar aus einem Plural kann der Singular als Subject ergänzt werden. Οὐδεὶς κολάζει τοὺς ἀδικοῦντας τούτου ἕνεκα ὅτι ἠδίκησεν. Πλ. Πρω. 324. Vgl. Th. 3, 17, 2.)

A. 2. Bei Gegensätzen ist nach ἀλλά [und δέ] aus einem vorhergehenden οὐδείς oder μηδείς als Subject ἕκαστος zu denken. [zu Xe. An. 1, 3, 15 u. z. Th. 4, 10, 1.] Ἐμοὶ οὐδεὶς δοκεῖ εἶναι πένης ὢν ἄνοσος, ἀλλ' ἀεὶ νοσεῖν. Σο. ἀποσ. 325. Μηδεὶς φθόνῳ τὸ μέλλον ἀκούσῃ, ἀλλ' ἂν ἀληθὲς ᾖ σκοπείτω. Δη. 20, 74.

A. 3. Ganz fehlen kann das Subject der dritten Person des Singulars, wenn eine einzelne Handlung von einer Person herrührt deren regelmäßiges Geschäft die bezügliche Thätigkeit ist. [zu Xe. An. 1, 2, 17.] Ἡνίκα ἂν ὥρα ᾖ πορεύεσθαι, σημανεῖ (erg. ὁ σαλπιγκτὴς) τῷ κέρατι. Xe. Ko. 5, 3, 45. Ἐκήρυξε (erg. ὁ κῆρυξ) τοῖς Ἕλλησι συσκευάζεσθαι. Xe. ἀν. 3, 4, 36. (Ὡδυνήθην ὅτε δὴ ἀκηκόη προδοκῶν τὸν Αἰσχύλον. ὁ δ' ἀνεῖπεν· εἰσαῦ ὦ Θέογνι τὸν χορόν. Ἀρ. Ἀχ. 11.) Τὸν νόμον ὑμῖν ἀναγνώσεται (erg. ὁ γραμματεύς). Δη. 20, 37.

A. 1. Οὗ ſteht auch wo das Particip Prädicat iſt, in den Verbindungen § 56, 4, 7. Ἔτυχεν οὐκ ἐξαληλιμμένον τὸ τεῖχος. Θ. 3, 20, 2. Ἡ γυναικεία φύσις οὐδὲν χείρων τῆς τοῦ ἀνδρὸς οὖσα τυγχάνει. Ξε. συ. 2, 9. Φανερὸς γέγονεν οὐ τῶν σωμάτων συγγενὴς ὤν, ἀλλὰ τῶν χρημάτων. Λυ. ἀποσ. 52. Σωκράτης οὐδὲν ἄλλο ποιῶν διατεγένηται ἢ διασκοπῶν τά τε δίκαια καὶ τὰ ἄδικα. Ξε. ἀπ. 4, 8, 4. Ὁρῶ, ὥσπερ τὰ τοῦ σώματος ἔργα τοὺς μὴ τὰ σώματα ἀσκοῦντας οὐ δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα τοὺς μὴ τὴν ψυχὴν ἀσκοῦντας οὐ δυναμένους. Ξε. ἀπ. 1, 2, 19. Ὁ ἀντοφείλων τὴν χάριν ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. Θ. 2, 40, 4. Ἐγὼ δείξω οὐ παραινέσαι οἷός τε ὢν μᾶλλον τοῖς πέλας ἢ καὶ ἔργῳ ἐπεξελθεῖν. Θ. 5, 9, 7. Ἑτέρους ἂν ἔχοιμι ἐπιδεῖξαι οὐ μετασχόντας τῆς πολιτείας. Λυ. 30, 15. [Τὸν πόλεμον οὐκ ὀνομάζον τὸ μαντεῖον προῄδει μὴ ἐπ' ἀγαθῷ ποτε τὸ Πελασγικὸν κατοικισθησόμενον. Θ. 2, 17, 2. vgl. 1, 76, 1. 5, 60, 4, Isokr. 15, 144; durch die Conjunctive veranlaßt Dem. 22, 18. 23, 68.]

A. 2. Selbſt mit ὡς verbunden ſteht οὗ beim Particip; auch bei der abſoluten Conſtruction mit und ohne ὡς oder ὥσπερ § 56, 9, 5. Ἐθορυβεῖτε ὡς οὐ ποιήσοντες ταῦτα. Λυ. 12, 73. Δημοκράτης ἐδόκει πολλὰ ἤδη ἀληθεῦσαι τοιαῦτα, τά τε ὄντα τε ὡς ὄντα καὶ τὰ μὴ ὄντα ὡς οὐκ ὄντα. Ξε. ἀν. 4, 4, 15. — Τῆς Λακεδαιμονίων ἀρχῆς ἀπηλλάγημεν, οὐδὲν προσῆκον ἐκείνους ἡμῖν ἐπιτάσσειν. Θ. 6, 82, 2. Τῆς βουλῆς ἀξιοῖ τυχεῖν οὐ μετὸν αὐτῷ. Λυ. 31, 32. Τοὺς ἀδικοῦντας ἀζημίους ἀφίετε, ὥσπερ τοῦ ὀνείδους ἀλλ' οὐ τῆς ζημίας αὐτοῖς μέλον. Λυ. 27, 16. Ἐν ὀλιγωρίᾳ ἐποιοῦντο, ὡς οὐχ ὑπομενοῦντας σφᾶς. Θ. 4, 5. [Nach einem Imperativ ὡς μή mit einem abſoluten Ge. Th. 7, 15, 1. 77, 7, Xe. Kyr. 1, 6, 11.]

A. 3. Für οὗ ſteht μή beim Particip, wenn dies mit einer an ſich μή erfordernden Fügung verbunden iſt, z. B. mit dem Imperativ oder mit einem Infinitiv der Art 7 A. 1 vgl. A. 4, oder wenn es einem hypothetiſchen Satze angehört (auch einem relativen hypothetiſchen, wie Th. 1, 71, 1). Ψηφίσασθε τὸν πόλεμον, μὴ φοβηθέντες τὸ αὐτίκα δεινόν. Θ. 1, 124, 2. Γύναι σάφ' ἴσθι μή με θωπεύσαντά σε. Εὐ. Ἡρ. 983. Ὁ παῖς εἴπερ ἐστὼς φανερὸς ὑμῖν ἐστι μὴ βληθείς, δηλοῦται διὰ τὴν αὐτοῦ ἁμαρτίαν ἀποθανών. Ἀντ. 3, β, 5. Ὡς ἐμοῦ μηδέποτε ἀμελήσοντος, οὕτως ἔχε τὴν γνώμην. Ξε. Κυ. 1, 6, 11. (Ἀφίετέ με ἢ μὴ ἀφίετε, ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα. Πλ. ἀπ. 30.) — Χρὴ τὸν ἀγαθὸν πολίτην μὴ ἐκφοβοῦντα τοὺς ἀντεροῦντας, ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον λέγοντα. Θ. 3, 42, 4. Εἰδότα γε μὴ εἰδέναι τὸ αὐτὸ ἢ μὴ εἰδότα εἰδέναι ἀδύνατον. Πλ. Θε. 188. Ὑπέσχετο εἰρήνην ποιήσειν μήτε δμηρα δοὺς μήτε τὰ τείχη καθελών. Λυ. 12, 68. — Τί ἐστιν, εἰ χρὴ μὴ κελευσθεῖσαν λέγειν; Εὐ. Ἰφ. Τ. 1288. Εἰ δόξω μηδὲν προσῆκον τοσαῦτα χρήματα ἐγκαλέσαι, διαβληθείην ἂν τὸν ἅπαντα βίον. Ἰσ. 17, 1. Δεινὸν ὅταν τις μὴ φρονῶν δοκῇ φρονεῖν. Γν. Στ. 23, 1. (Ταῦτα σκοπεῖτε ὅτι μὴ προνοίᾳ μᾶλλον ἐγίγνετο ἢ τύχῃ. Ἀντ. 5, 21.] So auch nach dem wünſchenden Optativ Diphil. 71, 9.

A. 4. Eine Negation vor einem Particip kann bloß zu dieſem, ſie kann aber auch zu dem folgenden Verbum an welches das Particip ſich anſchließt mit gehören. (z. Th. 1, 12, 1.] Λάλος ἐστὶν ὁ χρόνος· οὐκ ἐρωτῶσιν λέγει. Εὐ.

Aiσ. 26. — Οὐ καταφοβηθεὶς ἐπισχήσω. Θ. 6, 33, 1. Μετὰ τὰ Τρωικὰ ἡ Ἑλλὰς μετανίστατό τε καὶ κατῳκίζετο, ὥστε μὴ ἡσυχάσασα αὐξηθῆναι. Θ. 1, 12, 1. Εἰ καὶ σφόδρ' ἀλγεῖς, μηδὲν ἠρεθισμένος πράξῃς προπετῶς. Μέ. Στ. 20, 21.

9. Auch bei Subſtantiven, Adjectiven, Adverbien und Präpoſitionen mit ihrem Caſus ſteht in hypothetiſcher Bedeutung *μή*; ſonſt in der Regel *οὐ*: *ὁ μή* gleich *ὃς ἂν μὴ ᾖ*. *Εἰς πύκτης δυοῖν μὴ πύκταιν οὐκ ἂν δοκεῖ σοι ῥᾳδίως μάχεσθαι; Πλ. πολ.* 422. *Ἔφασαν παρανομίαν ἐπὶ τοῖς μὴ ἀνάγκῃ κακοῖς ὀνομασθῆναι καὶ οὐκ ἐπὶ τοῖς ἀπὸ τῶν ξυμφορῶν τι τολμήσασιν. Θ.* 4, 98, 4. *Ὁ μὴ ἰατρὸς ἀνεπιστήμων ὢν ὁ ἰατρὸς ἐπιστήμων. Πλ. Γο.* 459. — *Οὐκ οἶδα· δεινὸν δ' ἐστὶν ἡ μὴ ἐμπειρία. Ἀρ. ἐκ.* 115. *Δοκεῖ τίς σοι εἶναι ἀκοὴ ἢ τῶν ἄλλων ἀκοῶν ἀκούει καὶ τῶν μὴ ἀκοῶν; Πλ. Χαρ.* 167. — *Τὸ τῶν ὁμοίων ἠξιῶσθαι τοὺς μὴ ὁμοίους οὐ δίκαιον. Ἀρλ. ῥητ.* 2, 9. *Τὰ μήτε ἀγαθὰ μήτε κακὰ οὐ βουλόμεθα. Πλ. Γο.* 468. *Τὸ μὴ ἐμποδὼν ἀνανταγωνίστῳ εὐνοίᾳ τετίμηται. Θ.* 2, 45, 1. — *Εἱλόμην ἀποσχέσθαι τῆς τοιαύτης ἰδέας δι' ἀμφότερα, διά τε τοὺς οὐκ εὐκαίρως αὐτῇ χρωμένους καὶ διὰ τὸ μὴ βούλεσθαι ταπεινοτέρους ποιεῖν τοὺς ἡμιθέους. Ἰσ.* 5, 143. — [*Οὐκ ἄξιον τῇ πόλει ὀνειδίσαι ὧν μὴ μετὰ νόμων ἥμαρτεν. Θ.* 3, 62, 3. *Ὁ μὴ ξὺν ἀνάγκῃ τι παθὼν χαλεπώτερος διαφυγὼν τοῦ ἀπὸ τῆς ἴσης ἐχθροῦ. Θ.* 3, 40, 5. *Μάλιστα οἱ μὴ ξὺν προφάσει τινὰ κακῶς ποιοῦντες ἐπέρχονται καὶ διόλλυνται. Θ.* 3, 40, 5. Vgl. zu 1, 91, 4. 3, 67, 1. 4, 87, 3. 98, 4 u. 6, 82, 1.]

A. 1. Auch hier kann *μή* für *οὐ* eintreten in denſelben Fällen wie beim Particip nach 8 A. 3. Μὴ χαῖρ' Ἀτρείδῃ κέρδεσι τοῖς μὴ καλοῖς. Σο. Αἴ. 1349. Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην. Αἰσ. Προ. 44. Ἐπεὶ τὰ μὴ καλὰ πράσσειν ἐτόλμας, τλῆθι καὶ τὰ μὴ καλά. Εὐ. Ἑκ. 1250. — Ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω. Αἰσ. Εὐ. 432. Οὐδὲν κωλύει τοὺς περὶ ἕτερα δεινοὺς γενομένους μὴ χρηστοὺς εἶναι περὶ τὰ συμβόλαια. Ἰσ. 13, 6. — Συγγνωστὸν εἰπεῖν ἐστιν καὶ τὸ μὴ καλόν. Σο. ἀποσ. 323. Τὸ ζῆν μὴ καλῶς πόνος μέγας. Εὐ. Ἑκ. 378. Τὸ μὴ καλῶς λέγειν κακόν τι ἐμποιεῖ ταῖς ψυχαῖς. Πλ. Φαίδ. 115. — Δεινόν μοι δοκεῖ εἶναι, εἰ τοῖς εἰποῦσι περὶ τὸ πλῆθος τὸ ὑμέτερον μὴ τὰ ἄριστα ὁ μηδὲν εἰπὼν ταὐτὰ πείσεται. Λυ. 20, 10.

A. 2. Insofern *οὐ* den Begriff aufhebt, findet es ſich auch wo die Conſtruction eig. *μή* erfordern würde: *οὐ προσήκοντα* Ungebührliches. Περικλῆς οὐκ ἤγετο μᾶλλον ὑπὸ τοῦ πλήθους ἢ αὐτὸς ἦγεν, διὰ τὸ μὴ κτώμενος ἐξ οὐ προσηκόντων τὴν δύναμιν πρὸς ἡδονήν τι λέγειν. Θ. 2, 65, 5. Βραδέως βουλεύεσθε ὡς οὐ περὶ βραχέων. Θ. 1, 78, 1. Μὴ ἄλλο τι νομίσητε τὴν γῆν αὐτῶν ἢ ὅμηρον ἔχειν, καὶ οὐχ ἧσσον ὅσῳ ἄμεινον ἐξείργασται. Θ. 1, 82, 4. Δεινά γ' ἂν πάθοιμεν εἰ τοὺς μὲν οὐχ οἵους τε ὄντας ἐξάρνους εἶναι μὴ οὐ χρήματα ἔχειν ὑμῶν, τούτους ἀφῆτε [ἀφεῖτε]. Λυ. 20, 19.

10. Geſtellt werden die einfachen Negationen in der Regel unmittelbar vor den negirten Begriff.

A. 1. So unterſcheide man οὐ πάντα ὀρθῶς ἐποίησεν nicht Alles —, wohl aber Manches; πάντα οὐκ ὀρθῶς ἐποίησεν Alles nicht richtig —, ſondern falſch; ὀρθῶς πάντα οὐκ ἐποίησεν mit Recht hat er Alles nicht gethan —, ſondern unterlaſſen. vgl. zu Xe. An. 1, 4, 5. (Doch ſteht die Negation zuweilen vor einem Infinitiv wo ſie zum folgenden Verbum gehört.) Φιλεῖ πόλεμος οὐ πάντ' εὐτυχεῖν. Εὐ. Τημ. 6. Ὡς οὐ σὺ αἴτιος δεῖξον. Δη. 19, 235. Ἀβροκόμας οὐ τοῦτ' ἐποίησεν, ἀλλ' ἀπήλαυνεν. Ξε. ἀν. 1, 4, 5. Φαίνεται ἡ νῦν Ἑλλὰς καλουμένη οὐ πάλαι βεβαίως οἰκουμένη, ἀλλὰ μεταναστάσεις οὖσαι τὰ πρότερα. Θ. 1, 2, 1. Οὐκ ἐν γυναικὶ φύεται πιστὴ χάρις. Μέ. 545. (Οὐκ αἰσθάνεσθαι ἡμῖν γε δοκεῖτε. Θ. 1, 70, 1.)

A. 2. Nach ihrem Begriffe ſteht die Negation, wenn beide, jeder für ſich, ſtark hervorzuheben ſind. So beſonders bei Gegenſätzen mit μέν und δέ. Hier ſteht οὔ auch wenn ein Vocal folgt (nach δέ betont, auch wenn es nicht abſchließt). Πάντες μὲν οὐκ ἦλθον, Ἀριαῖος δὲ καὶ Ἀρτάοζος. Ξε. ἀν. 2, 5, 35. Ἦν ὁ ποταμὸς δασὺς δένδρεσι παχέσι μὲν οὔ, πυκνοῖς δέ. Ξε. ἀν. 4, 8, 2. [zu Xe. An. 4, 4, 3.] — (Ἐσώθη ὁ ἐμὸς πατήρ· οἷόν τε δ' οὐκ ἦν, εἴπερ ἐγὼ μηνυτὴς ἐγενόμην περὶ τοῦ πατρός. Ἀνδ. 1, 20. Ἡ συγγραφὴ πολλὰ οὐ δυνήσεται ὠφελῆσαι τοὺς ἀναγιγνώσκοντας. Διον. π. Θου. 6, 1. —) Ὑπερφρονοῦσι μὲν ἡμᾶς, ὑπομένουσι δ' οὔ. Θ. 6, 68, 2. Τὰ ἡδονὰς ἔχοντα ἐπιτηδεύματα κολακεύει μὲν ἡμῶν τὰς ψυχάς, πείθει δ' οὔ τοὺς καὶ ὁπηοῦν μετρίους. Πλ. πολ. 538. Ἐδέθη καὶ ἠκίσθη, ἀπώλετο δ' οὐχί, ἀλλ' ἐλύθη. Λυ. 6, 27. Τὸν ἰδόντα καὶ μύσαντα μεμνημένον, ὁρῶντα δ' οὔ ἀποδείξαντες οὐκ εἰδότα ἀπεδείξαμεν καὶ ἅμα μεμνημένον. Πλ. Θε. 164. Πιστεῦσαι θεῶν χρὴ θεσφάτοισιν ἐς τὰ νῦν πεπραγμένα βλέψαντα· συμβαίνει γὰρ οὐ τὰ μὲν τὰ δ' οὔ. (erg. ἀλλὰ πάντα.) Αἰσ. Πέρ. 800. — Θεὸν νόμιζε καὶ σέβου, ζήτει δὲ μή. Φιλ. 112. Φίλου τρόπους γίγνωσκε, μισήσῃς δὲ μή. Γν. 539. Ὅλοιτο μὲν μή, δεσπότης γάρ ἐστ' ἐμός· ἀτὰρ κακός γ' ὢν ἐς φίλους ἁλίσκεται. Εὐ. Μήδ. 83. Εἰ αὐτοῖς εἴη πάντα τὰ ἐπιτήδεια παρεσκευασμένα, χρῷντο δ' αὐτοῖς μή, ἆρ' ἂν εὖ πράττοιεν διὰ τὴν κτῆσιν; Πλ. Εὐθύδ. 280.

A. 3. An manchen Stellen gehört ein dem Verbum nachgeſetztes μή, wenn auch wegen der Form deſſelben gewählt, doch eigentlich zum nächſtfolgenden Worte. Ὅλοιντο μή τι πάντες οἱ κακοί, τὰ δὲ λαθραῖ' ὃς ἄσκει μὴ πρέποντ' αὐτῷ κακά. Σο. Τρ. 383. Σκοπεῖτε μὴ τοῦτο εἰ τάλαντον ἔδωκεν, ἀλλὰ τὴν προθυμίαν. Δη. 20, 45. [Ueber μή τι ſonſt z. Th. 1, 126, 1. 6, 40, 2.]

A. 4. Wenn die Negation ſtatt unmittelbar vor dem Nomen zu ſtehen vor dem Artikel oder der Präpoſition eintritt, ſo iſt dabei (wenn es nicht ſchon hinzugefügt iſt) das Gegentheil zu denken, z. B. bei οὐχ οἱ ἀδυνατώτατοι ein ἀλλ' οἱ δυνατώτατοι. Bekker Hom. Blätter S. 288 f. Οἱ Ἕλληνες τὸ πάλαι ἐτράποντο πρὸς λῃστείαν ἡγουμένων ἀνδρῶν οὐ τῶν ἀδυνατωτάτων. Θ. 1, 5, 1. [vgl. 3, 57, 1 u. zu 7, 36, 3.) Ἐγὼ ἡγοῦμαι ἀδικεῖν εἴ τις ὀλίγας ἄρξας ἀρχὰς μὴ τὰ ἄριστα ἦρξε τῇ πόλει. Λυ. 20, 5. Ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γιγνόμενον, ὑπὸ τοῦ νοσώδους δὲ διαφθειρόμενον διολέσωμεν, πειθόμενοι μὴ τῇ τῶν ἐπαίόντων δόξῃ, ἆρα βιωτὸν ἡμῖν ἐστι διεφθαρμένου αὐτοῦ; Πλ. Κρίτ. 47. — Παλαιὰς ἀρετὰς χρὴ τοῖς αἰσχρόν τι ὁρῶσι διπλασίας ζημίας εἶναι, ὅτι οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσιν. Θ. 3, 67, 1 u. Kr. dort. Πελοποννήσιοι πολεμεῖν μὴ πρὸς ὁμοίαν ἀντιπαρασκευὴν ἀδύνατοι. Θ. 1, 141, 5. — (Ἔφη πραχθήσεσθαι ταῦτα οὐκ εἰς μακράν, ἀλλ' εἰς τὴν ἔκτην. Αἰ. 13, 98.) Ἀμυνούμεθα τοὺς πολεμίους οὐκ εἰς μακράν. Ξε. Κυ. 5, 4, 21. Πάσχειν ὅτιοῦν αἱρεῖται παρ' ὑμῶν μᾶλλον ἢ Φιλίππῳ τι ποιῆσαι μὴ πρὸς ἡδονήν. Δη. 19, 118.

(A. 5. So ſteht die Negation zuweilen auch vor einem relativen Satze, indem das Gegentheil zu denken iſt: ἀλλὰ ἃ οὐ —. Ζητοῦσα φάρμαχ' εὗρον οὐχ ἃ ἐβουλόμην. Εὐ. Ἱπ. 699. Σωκράτης ἐπιμελεῖσθαι θεοὺς ἐνόμιζεν ἀνθρώπων οὐχ ὃν τρόπον οἱ πολλοὶ νομίζουσιν. Ξε. ἀπ. 1, 1, 19. Τὸ ἀγνοεῖν ἑαυτὸν καὶ μὴ ἃ οἶδε δοξάζειν τε καὶ οἴεσθαι γιγνώσκειν ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι. Ξε. ἀπ. 3, 9, 6.

A. 6. Eben ſo (wie A. 4 u. 5) findet ſich die Negation bei hinzugefügtem Gegenſatze nachdrucksvoll vor dem betonten Begriffe oder Satze, auch getrennt vom Verbum; ja wenn dies vorangeht, ſelbſt nach demſelben. Ἐγὼ οὐ χαλεπὴν ὑμῖν εἶναι νομίζω τὴν πορείαν, ἀλλὰ παντάπασιν ἀδύνατον. Ξε. ἀν. 5, 6, 10. — Ξύμμαχοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν Ἑλλήνων, ἀλλ' ἐπ' ἐλευθερώσει. Θ. 3, 10, 2. Χρὴ τοὺς ἐλευθέρους οὐκ ἀφισταμένους

σφόδρα κολάζειν, ἀλλὰ πρὶν ἀποστῆναι σφόδρα φυλάσσειν. Θ. 3, 46, 4. Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας. Ἰσ. 3, 59. Δέδιμεν οὐχὶ μὴ ἔγκλημα ποιῆτε, ἀλλὰ μὴ ἐπὶ διεγνωσμένην κρίσιν καθιστώμεθα. Θ. 3, 53, 4. — Ταῦτα χρὴ σκεψαμένους μὴ τοὺς ἐμοὺς λόγους ὑπεριδεῖν, τὴν δὲ αὑτοῦ τινα σωτηρίαν μᾶλλον ἀπ' αὐτῶν προϊδεῖν. Θ. 4, 62, 2. Εἰ ὁ καταμεμαρτυρημένος ὑπὸ τοῦ βίου τοῦ ἑαυτοῦ καὶ τῆς ἀληθείας ἀξιώσει μὴ ἐξ ὧν γιγνώσκεται ἀλλ' ἐκ τῶν μαρτυριῶν κρίνεται, ἀνήρηται ὁ νόμος καὶ ἡ ἀλήθεια. Αἰ. 1, 90. — Βασιλεὺς αἱρεῖται οὐχ ἵνα ἑαυτοῦ καλῶς ἐπιμελῆται, ἀλλ' ἵνα καὶ οἱ ἑλόμενοι διὰ τοῦτον εὖ πράττωσιν. Ξε. ἀπ. 3, 2, 3.

A. 7. In Verbindung mit manchen Conjunctionen, wie γάρ, τοί, tritt οὔ oft zu Anfang eines Satzes ein, wenn auch sein Verbum entfernt ist. Manche Hyperbata der Negationen erlaubte man sich, um den an sie gerückten Begriff hervorzuheben. Μὴ ὅ γε οὐ χρὴ ποιεῖ. Πλ. Εὐθύδ. 307.

II. Mehrere Negationen verbunden. Ellipsen.

11. Zwei (mehrere) Negationen die verschiedenen Begriffen angehören haben, wenn auch in einem Satze stehend, jede ihre Bedeutung. Vgl. R. 8. *Οὐ δι' ἀπειρίαν γε οὐ φήσεις ἔχειν ὅ, τι εἴπῃς. Δη.* 19, 120. *Οὐκ ἀγνοῶ οὐ τῶν εὖ πεφυκότων ὢν ἀνθρώπων. Δη.* 37, 55. *Ὑμῶν ἔργον τὸ μὴ πείθεσθαι τὰ μὴ δίκαια. Ἀντ.* 5, 94. — *Οὐ θέμις τῷ ὀρθῶς λέγοντι μὴ συγχωρεῖν. Πλ. Ἱπ.* 304. *Οὗτοι μὰ τὴν Δήμητρα δύναμαι μὴ γελᾶν. Ἀρ. βά.* 42. — *Οἱ τὰ μὴ πιστὰ δοκοῦντα εἶναι λέγοντες οὐ μόνον οὐ πείθουσιν, ἀλλὰ καὶ ἄφρονες δοκοῦσιν εἶναι. Θ.* 6, 33.

A. 1. In der Frage kann das erste οὔ zum ganzen Satze gehören: nonne, ist es nicht so daß —? Ueber das ähnliche οὐ (—) μή § 53, 7, 5; μὴ οὐ nach Begriffen der Furcht § 54, 8, 9 f. Οὐκ ἐπὶ τὸν δῆμον, πολεμιώτατον ὄντα ἡμῖν, οὐκ ἠθέλησαν ὑμῖν συστρατεύειν; Ξε. Ἑλ. 5, 2, 33. [zu Ξε. An. 3, 1, 29.]

(A. 2. Die einfache Negation einer von ihr abgeleiteten nachgestellt hebt diese auf. (Αἱ δύο ἀποφάσεις μίαν κατάφασιν ἀποτελοῦσιν. Λουκ. Γαλ. 11.) So in οὐδεὶς οὔ nemo non, durchaus jeder, so v. a. οὐκ ἔστιν ὅστις οὔ § 61, 5, 2. [Nicht hieher gehören die Stellen wo οὐ — οὐ für οὔτε — οὔτε eintritt, wie Ar. Plut. 1114 vgl. Vögel 979. Zw. ist Ant. 3, δ, 7.] Τῶν ὁρώντων οὐδεὶς οὐκ ἔπασχέ τι τὴν ψυχήν. Ξε. συ. 1, 9. Γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται. Σο. ἀποσ. 673. Hermann zu So. Ant. 4.)

A. 3. Wie jedes Wort, so kann auch die Negation wiederholt den Begriff bloß erneuern. So besonders bei Betheuerungen. Οὐ μὰ Δί', οὐ Φαίδρας ἐποίουν. Ἀρ. βά. 1043. Θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ. Σο. Αἴ. 970. Οὐ μέτεστι τῶν ἴσων οὐδὲ τῶν ὁμοίων πρὸς τοὺς πλουσίους τοῖς πολλοῖς ἡμῶν, οὐ μέτεστιν, οὔ. Δη. 21, 112. [Elmsley zu So. Ai. 970.] — Οὐχ ὥσπερ γε τὰς ἄλλας τέχνας κατατριβῆναι δεῖ μανθάνοντας, πρὶν ἄξια τῆς τροφῆς ἐργάζεσθαι τὸν διδασκόμενον, οὐχ οὕτω καὶ ἡ γεωργία δύσκολός ἐστι μαθεῖν. Ξε. οἰκ. 15, 10. Δέδοικα μή, ἂν ἅπαξ μάθωμεν ἀργοὶ ζῆν —, μὴ ἐπιλάθωμεν τῆς οἴκαδε ὁδοῦ. Ξε. ἀν. 3, 2, 25.

A. 4. Ueber das betheuernde οὐ μή § 53, 7, 6 vgl. Elmsley z. (Eu. Hik. 1066 u.) So. OT. 870; über das fragende § 53, 7, 5 vgl. Elmsley z. Med. 1120. So steht es auch verbietend, ein aus der Frage hervorgegangener Gebrauch. Vgl. Pflugk zu Eur. Andr. 758. Nach Elmsley zu Soph. Oid. K. 177 ist οὐ μὴ γράψεις = μὴ γράφε oder μὴ γράψῃς, οὐ μὴ γράψῃς = οὐ γράψεις. Οὐ μὴ προδώσεις θυμὲ σαυτὸν ἐν κακοῖς. Νεοφ. 20, 34. Τοὺς πονηροὺς οὐ μὴ ποτε βελτίους ποιήσετε. Αἰ. 3, 177. Οὐ μὴ εἰσίῃς. Ἰσαί. 8, 24. Οὐ μὴ κακισθεὶς εἰς ἀνανδρίαν πέσῃς. Εὐ. Ἡλ. 982.

12. *Οὔ* und *μή* werden jedes mit einem oder mehreren seiner Ableitungen, ihnen vorangehend, so verbunden daß die Composita den Begriff der einfachen Negation bloß in Bezug auf den sonst noch in ihnen enthaltenen Begriff erneuern und urgiren. So sagte man in der Regel z. B. *οὐκ ἔστιν οὐδὲν* statt *οὐκ ἔστι τι* ꝛc. *Σώφρονος ἀπιστίας οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς. Εὐ. Ἑλ.* 1618. *Οὐκ ἔστιν οὔτε τεῖχος οὔτε χρήματα οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή. Εὐ. Ἀλ.* 13. *Οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν οὐδ' ἐλπίς. Σο. Τρ.* 725.

A. 1. So stehen auch ohne οὔ oder μή mehrere Ableitungen des einen oder des andern einfach verneinend. Οὐδαμοῦ δίκαιον οὐδένα ἡμῖν ἐφάνη ὂν βλάπτειν. Πλ. πολ. 335. Σμικρὰ φύσις οὐδὲν μέγα οὐδέποτε οὐδένα οὔτε ἰδιώτην οὔτε πόλιν δρᾷ. Πλ. πολ. 495. Θεοὺς φοβούμενοι μήποτ' ἀσεβὲς μηδὲν μηδὲ ἀνόσιον μήτε ποιήσητε μήτε βουλεύσητε. Ξε. Κυ. 8, 7, 22.

A. 2. Aehnlich kann auch nach einem verneinenden Verbum die Negation erneuernd und urgirend eintreten. So übersetzen wir ἀντιλέγω ὅτι οὐκ ἔστιν ich bestreite, läugne daß es ist. Ὅτι ἀρετὴ οὐκ ἔστιν ἐπιστήμη, σκέψαι ἐάν σοι δοκῶ εἰκότως ἀπιστεῖν. Πλ. Μέ. 89. Ἀντέλεγεν ὅτι οὐκ ἐγχωροίη. Ξε. Ἑλ. 2, 3, 16. Οὗτοι τούς γε θεωμένους τάδε ἀντιλέξειν οἶομαι ὡς οὐχὶ καὶ ἡ ἀνδρεία διδακτόν. Ξε. συ. 2, 12. [zu Ξε. An. 2, 5, 29.] Οὐ τοῦτο ἀμφισβητῶ ὡς οὐχ ὅταν τὸ αὐτὸ γιγνῶσκόν τις ἔχῃ, αὐτὸς αὑτὸν γνώσεται. Πλ. Χαρ. 169. Ἐξελεγκτέος οὗτος ὁ λόγος ἡμῖν ἐστιν ὡς οὐ δικαιοσύνης καὶ σωφροσύνης κτήσει εὐδαίμονες οἱ εὐδαίμονες. Πλ. Γο. 508. Θαυμαστὸν τὸ διαμάχεσθαι περὶ τούτου καὶ μὴ ἂν δύνασθαι ἀρνηθῆναι ὡς οὐκ ἀπέδωκα. Λυ. 4, 1.

A. 3. So wird nach Begriffen die eine Verneinung enthalten, wie mißtrauen, läugnen, verbieten, verhindern, sich hüten, dem Infinitiv gew. μή beigefügt. [Neg. z. Th. u. μή.] Ἠπίστουν μὴ εἶναι τοὺς τὰ ὅπλα παραδόντας τοῖς τεθνεῶσιν ὁμοίους. Θ. 4, 40, 2. — Ἠρνοῦντο μὴ πεπτωκέναι. Ἀρ. ἱπ. 572. Πῶς ἂν τολμῷμεν ἔξαρνοι εἶναι τὸ καλὸν μὴ καλὸν εἶναι; Πλ. Ἱπ. 288. Ὁ νόμος ἀπαγορεύει (εἴργει) μήτε δικαίως μήτε ἀδίκως ἀποκτεῖναι. Ἀντ. 3, γ, 7, 4, β, 3. Οἱ νομοθέται τὸ καλὸν τὸ ἐκ τῶν γυμνασίων κατιδόντες ἀπεῖπον τοῖς δούλοις μὴ μετέχειν. Αἰ. 1, 138. — Ὁ φόβος τὸν νοῦν ἀπείργει μὴ λέγειν ἃ βούλεται. Εὐ. Ἀλκμή. 14. Νόμων γραφαὶ εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποις. Εὐ. Ἑκ. 867. Κωλυόμεθα μὴ μαθεῖν ἃ βούλομαι. Εὐ. Ἴων 392. — Παρὸν σεσῶσθαι φευξόμεθα μὴ θανεῖν. Εὐ. Ἡρ. 507. Χρὴ πάντως εὐλαβεῖσθαι γείτονα γείτονι μηδὲν ποιεῖν διάφορον. Πλ. νό. 843. Ἐφυλάξατο μηδένα [μὴ] βαλεῖν. Ἀντ. 3, δ, 7. Δέδοικε μηδὲν ἐξαμαρτάνειν. Εὐ. Ἀντιγ. 8.

Ῥᾷον ἐτόλμα τις ἃ πρότερον ἀπεκρύπτετο μὴ καθ' ἡδονὴν δρᾶν. Θ. 2, 53, 1. Ὁ πατὴρ ἀπεύξαιτ' ἂν τοῖς θεοῖς μηδαμῶς κατὰ τὰς τοῦ υἱέος εὐχὰς γίγνεσθαι. Πλ. νό. 687. Ἐμοῦ οἱ νόμοι ἀπεγνωκότες εἰσὶ μὴ ἀδικεῖν. Λυ. 1, 34. Παυσανίας κριθεὶς ἀπελύθη μὴ ἀδικεῖν. Θ. 1, 128, 2. Ἀφείμεθα μηδὲν ἂν πλημμελεῖν. Πλ. νό. 635. Ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι. Θ. 5, 25, 2.

A. 4. So findet sich μή auch in Verbindung mit ὥστε wie mit dem Artikel τό oder τοῦ. Ὥστε μὴ ὀλισθάνειν ἡ ὕλη σχήσει. Ξε. ἀν. 3, 5, 11. Τὰς ναῦς ἀπέστρεψεν ὥστε μὴ ἐλθεῖν. Θ. 8, 108, 1. — Κίμωνα παρὰ τρεῖς ἀφεῖσαν ψήφους τὸ μὴ θανάτῳ ζημιῶσαι. Δη. 23, 205. Εὖ πάνυ φυλάττουσι τὸ μηδὲν βέβαιον ἐᾶν εἶναι. Πλ. Θε. 180. (Παύσαντες τὴν φλόγα καὶ τὸ μὴ προσελθεῖν τὴν ὁλκάδα τοῦ κινδύνου ἀπηλλάγησαν. 7, 53, 4.) — Τούτους τοιαῦτα λέγων ἔσχε τοῦ μὴ ἐκπεπλῆχθαι. Ξε. Ἑλ.

4, 8, 5. Μία ἀπόκρισις ἀπολύεσθαι δοκεῖ τοῦ μὴ κακῶς ἔχειν, ἀλλ' ὀρθῶς. Πλ. νό. 637. (Οὐδείς πω τοῦ μὴ πλέον ἔχειν ἀπετράπετο. Θ. 1, 76, 3.) Διὰ τὸ μῖσος μικρὸν ἀπέλιπον τοῦ μὴ ταῖς ἐσχάταις συμφοραῖς περιπεσεῖν. Ἰσ. 15, 122. Ἡ διὰ βίου ἄπληστος ζήτησις ἐμπόδιος γίγνεται τοῦ μὴ καλῶς ἀσκεῖν τὰ περὶ τὸν πόλεμον ἑκάστους. Πλ. νό. 832. (Ἐν ἀσφαλεῖ εἰσι τοῦ μηδὲν παθεῖν. Ξε. Κυ. 3, 3, 31. Ἐνόμιζον οὐδεμίαν σωτηρίαν εἶναι τοῦ μὴ παθεῖν ἃ ἐποίησαν. Ξε. Ἑλ. 2, 2, 10.)

(A. 5. Hin und wieder findet ſich nach ſolchen Verben auch der Infinitiv ohne μή. [ʒ. Th. 1, 73, 3. vgl. 1, 31, 3. Philem. 92, 3.] Σχήσω σε πηδᾶν δυστυχῆ πηδήματα. Εὐ. Ὀρ. 263. Ὀκνήσουσιν οἱ ἄγγελοι μὴ ἀποδόξῃ ἡμῖν τὰς σπονδὰς ποιήσασθαι. Ξε. ἀν. 2, 3, 9. — Τό γε δυστυχέστατος εἶναι ἀνθρώπων οὐδαμῇ ἐκφεύγω. Ἀνδ. 2, 9.)

A. 6. Nach negativen Sätzen ſteht beim Infinitiv (auch mit τό oder ὥστε) ſtatt μή in der Regel μὴ οὔ; eben ſo nach Fragen die einer Negation gleich ſind und ſelbſt nach negationsartigen Begriffen, wie ἄνοια, αἰσχρόν ἐστιν. [Hermann De ell. p. 224 s.] Auch hier erneuert das οὔ die vorhergehende Negation. Οὐχ ὅσιόν σοί ἐστι μὴ οὐ βοηθεῖν δικαιοσύνῃ εἰς δύναμιν παντὶ τρόπῳ. Πλ. πολ. 427. Οὐκ ἐγχωρεῖ τοῖς πλεονεκτεῖν βουλομένοις μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτάτους διακωλύειν. Ξε. Ἑλ. 2, 3, 16. Ἀδύνατα ἦν μὴ οὐ μεγάλα βλάπτειν. Θ. 8, 60, 1. [vgl. Her. 3, 82, 2.] — Εἰ ἅμα ἐλεύθερός τ' εἴης καὶ πλούσιος γένοιο, τίνος ἂν δέοιτο μὴ οὐχὶ πάμπαν εὐδαίμων εἶναι; Ξε. Ἑλ. 4, 1, 36. — Ἀνόητον ἡγοῦμαι εἶναί σοι μὴ οὐ καὶ τοῦτο χαρίζεσθαι. Πλ. συ. 218. Αἰσχρόν ἐστι σοφίαν καὶ ἐπιστήμην μὴ οὐχὶ πάντων κράτιστον φάναι εἶναι τῶν ἀνθρωπείων πραγμάτων. Πλ. Πρω. 352. — Πολλὴ ἄνοια τὸ μὴ οὐχ ἓν καὶ ταὐτὸν ἡγεῖσθαι τὸ ἐπὶ πᾶσι τοῖς σώμασι κάλλος. Πλ. συ. 210. Οὐδεὶς οὕτω παῖδας εὖ παιδεύσεται, ὥστ' ἐκ πονηρῶν μὴ οὐ κακοὺς πεφυκέναι. Εὐ. ἀποσπ. ἄδ. 38.

A. 7. Eben ſo ſteht beim Infinitiv nach Begriffen des Abhaltens und Widerſprechens mit einer Negation μὴ οὔ quominus (für unſern Sprachgebrauch überflüſſig). Οὐκ ἂν ποτ' ἔσχον μὴ οὐ τάδ' ἐξειπεῖν πατρί. Εὐ. Ἱπ. 658. Τὸ ἀγνοεῖν οὐκ ἐκφεύγει τῇ ἀληθείᾳ μὴ οὐκ ἐπονείδιστον εἶναι. Πλ. Φαῖδ. 277. Ὁ Ἀστυάγης ὅ, τι δέοιτο αὐτοῦ ὁ Κῦρος οὐδὲν ἐδύνατο ἀντέχειν μὴ οὐ χαρίζεσθαι. Ξε. Κυ. 1, 4, 2. — Μάχας οὐκ ἀρνοῦμαι μὴ οὐ συμβεβηκέναι μοι· περὶ δὲ τῶν ποιημάτων τὰ μὲν ὁμολογῶ τὰ δ' ἐξαρνοῦμαι μὴ τοῦτον ἔχειν τὸν τρόπον. Αἰ. 1, 136. Οὐδεὶς πώποτε ἀντεῖπε μὴ οὐ καλῶς ἔχειν τοὺς νόμους. Δη. 24, 24. — Τίνα οἴει ἀπαρνήσεσθαι μὴ οὐχὶ καὶ αὐτὸν ἐπίστασθαι τὰ δίκαια καὶ ἄλλους διδάξειν; Πλ. Γο. 461. — Τὸ μὴ οὐχ ἡδέα εἶναι τὰ ἡδέα λόγος οὐδεὶς ἀμφισβητεῖ. Πλ. Φιλ. 13.

[A. 8. Wie jedoch nach ſolchen Begriffen ohne Negation auch der Infinitiv ohne μή vorkommt nach A. 5, ſo können ſie, wenn ſchon negirt, bloß μή nach ſich haben. [Reiſig comm. ad Soph. Oed. C. 350. Vgl. Eupolis 148, Thuk. 3, 39, 3, Xen. Hell. 5, 2, 1, Dem. 34, 3, Plat. Tim. 20 u. Ant. 3, β, 4 mit Aud. 3, 26, Her. 1, 209, 3.] Ἀδύνατον μὴ ὁμολογεῖν ταῦτα. Πλ. Φίλ. 50. (Ταῦτά τινες οὐκ ἐξαρνοῦνται πράττειν, ἀλλ' ὁμολογοῦσιν. Αἰ. 3, 250.) Εὐδαιμονία οὐ παρέχει ὄκνον μὴ ἐλθεῖν ἐς τὰ δεινά. Θ. 3, 39, 3. — Τίνα αἰσχιον μὴ φιλεῖν ἢ τὸν ἀδελφόν; Ξε. Κυ. 8, 7, 16.]

(A. 9. Auch bei Participien findet ſich μὴ οὔ (nisi) nur nach negativen Sätzen Her. 2, 110. 6, 9, 1. 106, 2, Soph. Oid. T. [13.] 221. (Oid. K. 360?) Philem. 83, 5, Plat. Lyſ. 212, Iſokr. 10, 47, Polyb. 16, 29, 6. 7. Vgl. Elmsley zu So. OT. 13. Οὐκ ἔστι φίλον τῷ φιλοῦντι οὐδὲν μὴ οὐκ ἀντιφιλοῦν. Πλ. Λό. 212. Τιμῆς τυχεῖν οὐχ οἷόν τε μὴ οὐ [τὸν] πολὺ τῇ γνώμῃ διαφέροντα. Ἰσ. 10, 47. [Αἱ πόλεις χαλεπαὶ λαβεῖν μὴ οὐ πολιορκίᾳ. Δη. 19, 123.] Vgl. Hermann De ell. p. 223 s. u. 233 s.

A. 10. Ueber μὴ οὔ mit dem Conjunctiv § 54, 8, 9 u. 13, οὐ μή § 53, 7, 5.

13. Ohne zugefügten Begriff ſtehen die Negationen, wenn derſelbe (gegenſätzlich) aus dem Vorhergehenden zu ergänzen iſt. Doch kann der Begriff auch, wie im Lateiniſchen (das Verbum) regelmäßig, wiederholt werden. *Τῶν καλῶν τῶν μὲν ἐρῶσι, τῶν δ' οὔ. Ξε. Κυ.* 5, 1, 9. *Οἷς οὕτω δέδοκται καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή. Πλ. Κρίτ.* 49. *Ὁ μὲν συνοπτικὸς διαλεκτικός, ὁ δὲ μή, οὔ. Πλ. πολ.* 537. *Χωρὶς τό, τ' εἶναι καὶ τὸ μὴ νομίζεται. Εὐ. Ἀλκ.* 528. *Λεῖ τό, τε χρηστὸν καὶ τὸ μὴ σκοπεῖν. Πλ. πολ.* 537. *Φημὶ μέτρον ἕκαστον ἡμῶν εἶναι τῶν τε ὄντων καὶ μή. Πλ. νό.* 638. — *Τὰ μὲν ἀκούσια τῶν ἁμαρτημάτων ἔχει συγγνώμην, τὰ δὲ ἑκούσια οὐκ ἔχει. Ἀντ.* 5, 92.

A. 1. So iſt auch in den Formeln οὐκ, ἀλλὰ — und οὐκ, εἰ, ἐάν ʒu οὔ das vorhergehende Verbum in der erforderlichen Form zu denken. Vgl. § 11, 11, 2; ferner bei τί οὔ und τί μή; Ἔξεστιν ὃν ἄν τις βούληται τρόπον τοὺς θεοὺς τιμᾶν; οὐκ, ἀλλὰ νόμοι εἰσίν. Ξε. ἀν. 4, 6, 2. Νῦν τοὺς ὑπάρχοντας πολίτας ἀπελῶμεν; οὐκ, ἂν ἔμοιγε πειθώμεθα. Λυ. 34, 4. — Οὐδὲν ἀποκωλύει πᾶν τε ὂν καὶ ὅλον ἓν εἶναι; Τί δ' οὔ; Πλ. σο. 245. Ἄρχοντές εἰσιν, ὥσθ' ὑπεικτέον. Τί μή; Σο. Αἴ. 668.

A. 2. Aehnlich findet ſich μὴ γάρ. Ὅσα γ' ἐν τῷ παρόντι δυνατὸν ἐκὼν οὐκ ἀπολείψω. Μὴ γάρ (erg. ἀπολείψῃς). Πλ. πολ. 509.

14. Elliptiſch erſcheinen die Negationen beſonders in beſtimmten Formeln bei denen ein allgemeiner Begriff, wie ſein, thun, ſagen, hinʒugedacht wurde.

A. 1. So fehlt ἔστιν bei οὐδείς ὅστις οὐ — vgl. § 51, 10, 11. Οὐδὲν ὅ, τι οὐ ξυνέβη. Θ. 3, 81, 4.

A. 2. So findet ſich οὐ γὰρ ἀλλά, wobei man ʒu οὐ γάρ ſeltener das vorhergehende Verbum ʒu denken hat (vgl. 13 A. 1) als allgemein: denn nicht iſt es ſo, gebührt es ſich, ſynonym mit καὶ γάρ. Aehnlich erhielt οὐ μὴν ἀλλά die Bedeutung indeſſen. [Selten οὐ μέντοι ἀλλά. ʒ. Th. 5, 43, 2.] Ueber οὐ μὴν οὐδέ ja, aber auch nicht ʒ. Th. 1, 3, 4. Ὁρᾷς ὅτι οὐ κακῶς ἐλέγομεν ὡς ἄρα καὶ αὐτὰ τὰ τῆς φιλοσόφου φύσεως μέρη, ὅταν ἐν κακῇ τροφῇ γένηται, αἴτια τρόπον τινὰ τοῦ ἐκπεσεῖν ἐκ τοῦ ἐπιτηδεύματος; Οὐ γὰρ ἀλλ' ὀρθῶς ἐλέχθη. Πλ. πολ. 495. Μὴ σκῶπτέ μ' ὦδελφ' (ὦ ἄδελφε)· οὐ γὰρ ἀλλ' ἔχω κακῶς. Ἀρ. βά. 58. — Τούτων ἀληθῆ μέν ἐστι τὰ πολλά, οὐ μὴν ἀλλ' ἴσως οὐχ ἡδέα ἀκούειν. Δη. 4, 38. Ueber ἀλλὰ (—) γάρ § 69, 14, 4.

A. 3. Elliptiſch ſtehen ferner οὐχ ὅτι [οὐχ ὅσον Thuk. 4, 62, 2] und οὐχ ὅπως ſtatt οὐκ ἐρῶ ὅτι, ὅπως; und ʒwar heißt οὐχ ὅτι nicht nur, οὐχ ὅπως nicht nur nicht (non modo) vgl. § 69, 46, 1; (οὐχ ὅτι auch obgleich); μὴ ὅτι ſtatt μὴ εἴπω, εἴπῃς ὅτι nicht nur nicht oder nachgeſtellt geſchweige denn. Ὑπεραποθνήσκειν μόνοι ἐθέλουσιν οἱ ἐρῶντες, οὐ (μόνον) ὅτι ἄνδρες, ἀλλὰ καὶ αἱ γυναῖκες. Πλ. συ. 179. (Σωκράτη γε ἐγὼ ἐγγυῶμαι μὴ ἐπιλήσεσθαι, οὐχ ὅτι παίζει καὶ φησιν ἐπιλήσμων εἶναι. Πλ. Πρω. 336.) — Οὐχ ὅπως τῆς κοινῆς ἐλευθερίας μετέχομεν, ἀλλ' οὐδὲ δουλείας μετρίας ἠξιώθημεν τυχεῖν. Ἰσ. 14, 5. Χρὴ τὸν μὴ τυχόντα γνώμης οὐχ ὅπως ζημιοῦν, ἀλλὰ μηδ' ἀτιμάζειν. Θ. 3, 42, 5. — (Ὁ μηχανοποιὸς οὔτε στρατηγοῦ, μὴ ὅτι κυβερνήτου, οὔτε ἄλλου οὐδενὸς ἐλάττω ἐνίοτε δύναται σώζειν. Πλ. Γο. 512.) Μὴ ὅτι θεός, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοὶ οὐ φιλοῦσι τοὺς ἀπιστοῦντας. Ξε. Κυ. 7, 2, 17.

A. 4. [5.] Nach Verneinungen wie οὐ (δῆτα), οὐδαμῶς § 64, 5, 4, iſt bloß das vorhergehende Verbum in einer poſitiven, nach μὴ (δῆτα), μηδαμῶς ꝛc. in einer prohibitiven Form (ποίει, ποιήσῃς, ποιῶμεν ꝛc. vgl. § 54, 2, 2) ʒu ergänʒen; eine Ellipſe dagegen tritt ein bei οὔπω, μή μοι ꝛc. nach § 62, 3, 12.

A. 5. [4.] Μόνον οὐ tantum non heißt eig. bloß nicht, es fehlt weiter nichts als daß = beinahe, einen zu starken Ausdruck mildernd; ὅσον οὔ fast, mit Bezug auf die Zeit, auch mit ἤδη oder οὔπω verbunden. [z. Th. 1, 36, 2 u. zu Xe. An. 7, 2, 5 lat. A.] Οἱ σοφισταὶ μικροῦ κέρδους ὀρεγόμενοι μόνον οὐκ ἀθανάτους ὑπισχνοῦνται τοὺς συνόντας ποιήσειν. Ἰσ. 13, 4. Χρὴ ἐς τὸν μέλλοντα καὶ ὅσον οὐ παρόντα πόλεμον χωρίον προλαβεῖν. Θ. 1, 36, 2. Ἐλέγετο ὅτι Ἰφικράτης ὅσον οὐκ ἤδη παρείη. Ξε. Ἑλ. 6, 2, 24. Οἱ ἄνδρες καὶ ἐπέρχονται καὶ ὅσον οὔπω πάρεισιν. Θ. 6, 34, 8.

§ 68. Präpositionen (προθέσεις).

I. Allgemeine Bemerkungen.

1. Die Präpositionen, eigentlich eine Art von Adverbien, ursprünglich des Ortes, erscheinen als solche am deutlichsten in der epischen Poesie.

2. Doch schon in der ionischen Prosa, noch mehr aber in der attischen finden sie sich gewöhnlich nur in fester Composition oder mit einem obliquen Casus verbunden.

A. 1. Die präpositionsartigen Adverbia (§ 66, 2, 2) unterscheiden sich von den Präpositionen dadurch daß sie auch selbständig (ohne Casus) stehen können und mit andern Wörtern nicht componirt werden. Nicht compositionsfähig sind auch einige den Ge. regierende Präpositionen, ἄνευ, ἕνεκα, ἄχρι, μέχρι, die man als uneigentliche Präpositionen betrachten kann. [Bei Spätern findet sich auch ἕως mit dem Ge.]

A. 2. Ohne Casus findet sich in der att. Prosa nur πρός außerdem in πρὸς δέ [z. Her. 1, 58 u. z. Th. 7, 70, 8), gew. mit folgendem καί auch, und καὶ πρός [τὲ πρὸς Aisch. Eum. 229, Eur. Or. 622. Bei Spätern finden sich auch, wie im Ionismos, ἐπὶ δέ, μετὰ δέ.] Ἐγὼ ἡγοῦμαι τοῦτον τὸν λόγον ἀσύμφορον εἶναι τῇ πόλει λέγεσθαι, πρὸς δὲ καὶ οὐ δίκαιον. Δη. 20, 112. Ἄθλιον ἔφην εἶναι τὸν ἀδίκως ἀποκτείναντα καὶ ἐλεεινόν γε πρός. Πλ. Γο. 469. [Heindorf zu Pl. Gorg. 55.]

A. 3. Ueber Tmesen § 42, 5, 1 u. 2.

3. Der Casus der Präpositionen ist ein Substantiv oder ein substantivirter Begriff, gewöhnlich ein declinables Wort.

A. 1. Ueber Präpositionen beim Infinitiv § 50, 6, 2 u. 3.

A. 2. Auch bei Adverbien stehen Präpositionen in der Regel nur in Verbindung mit dem Artikel vgl. § 50, 5, 1 u. 13; ohne ihn in den Fällen § 66, 1, 4.

4. In der Prosa stehen die Präpositionen in der Regel vor ihrem Casus.

A. 1. Häufig jedoch steht nach dem Casus ἕνεκα, nicht selten auch πέρι nach dem Ge., selbst durch eingeschobene Worte getrennt vgl. § 9, 11, 1; ἄνευ eben nur zuweilen nach dem Relativ. Λιμένας ἔχετε, ὧν ἄνευ οὐχ οἷόν τε ναυτικῇ δυνάμει χρῆσθαι. Ξε. Ἑλ. 7, 1, 3. [vgl. Dem. 23, 136, öfter bei Aristot. u. Spätern.]

A. 2. Wenig üblich ist in der attischen Prosa Einschiebung der Präposition zwischen Adjectiv und Substantiv, häufiger nur bei ἕνεκα; über πέρι § 9, 11, 1. Vereinzelt sind Fälle wie τοιᾶδε ἐν τάξει Plat. Krit. 115, πᾶσαν ἐς ἀρετὴν Thuk. 7, 86, 4? ἀντίπαλον ἐς ἓν ὄνομα 1, 3, 4? οὐδενὶ ξὺν νῷ Plat. Krit. p. 48, μηδενὶ ξὺν νῷ Ar. Wolk. 580 vgl. Arr. An. 4, 8, 6. τινὰ πρὸς ἰσχύν Plat. Ges.

644, τινὰ πρὸς ἄλλον Thuk. 5, 37, 2 (vgl. τινὰ εἰς ἑτέραν Anon. Oik. 5, μηδὲν δι' ἕτερον Isokr. 12, 23), τρόπων ἓξ οἵων 2, 36, 3, ἡμέρας περὶ τεσσαρασκαίδεκα Thuk. 1, 117, 1 vgl. 54, 3. 6, 74, 2 u. Dial. Sy. § 6. Häufiger ist οὐδὲν (μηδὲν) δι' ἄλλο Lys. 16, 8. 30, 18, Isokr. 12, 216, Xen. St. d. Ath. 3, 1; daneben δι' οὐδὲν ἄλλο, wie Plat. Prot. 353, Dem. 5, 11, (οὐ) δι' ἄλλ' οὐδέν Isai. 5, 23. 11, 15 und οὐδὲ δι' ἓν ἄλλο Xen. Kyr. 2, 1, 21 und Plat. Phaid. 100. Ueber die Einschiebung der Präpositionen bei οὐδείς und οὐδέτερος, z. B. οὐδὲ καθ' ἕν, οὐδὲ μεθ' ἑτέρων, § 24, 2, 2.

5. Eingeschoben werden zwischen die Präposititon und ihr Nomen in der Regel nur enge mit demselben verbundene Begriffe; außerdem jedoch auch postpositive Conjunctionen (§ 69, 3), besonders Sätze verbindende.

A. 1. So namentlich Adjective, Adverbia, Präpositionen (mit ihrem Casus) ꝛc. § 50, 8, 1—21. Postpositive Conjunctionen haben auch bei hinzutretendem Artikel ihre Stelle gew. gleich nach der Präposition, wie ἐπ' οὖν τὸ λοιπὸν αὐτοῖς ἕκαστοι χωροῦσιν. Δη. 2, 28. So stehen (μέν und) δέ beim Artikel. selbst wenn er Pronomen ist, vor demselben, wenn eine Präposition da ist nach § 50, 1, 14. Sehr selten sind in der Prosa Stellungen wie ἐπὶ τῷ δ' ἀφελέσθαι Dem. 20, 62, ἐν ταῖς δ' αὐταῖς ἡδοναῖς Plat. Ges. 816. [Ar. Wesp. 94, Lys. 593, Ekkl. 625, Men. b. Stob. 51, 27, Aisch. Ag. 1622, Eur. Med. 475, Andr. 336, Ion 742.]

A. 2. Eingeschoben findet sich auch οἶμαι (vermuthlich): ἐν οἶμαι πολλοῖς Dem. 20, 3 vgl. Plat. Rep. 564, a u. 568, c, παρὰ γὰρ οἶμαι τοὺς νόμους Plat. Pol. 300 und so bei ihm öfter, (wie ἴσως Dem. 22, 44, Polyb. 1, 56, 11 vgl. Plat. Gorg. 521), ὡς ἔπος εἰπεῖν Plat. Ges. 797. (Eben so beim Artikel οἱ μὲν (γὰρ) οἶμαι βέλτιστοι Dem. 19, 80. 54, 38, Plat. Ges. 722 vgl. Plat. Gorg. 483, c, wie ἡ γάρ που μίμησις ποιησίς τίς ἐστιν Soph. 265.)

A. 3. Ueber die Einschiebung der Ge. (auch von ὅς) § 47, 9, 19.

A. 4. Nach einem mit dem Artikel verbundenem Nomen, mag eine Präposition da sein oder nicht, stehen postpositive Conjunctionen, besonders μέν und δέ, wenn das Nomen stark hervorzuheben ist. Ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι, ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾶν τίνα ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκέ με. Αἰσ. Προ. 378. 81. Τοὺς κύνας τοὺς χαλεποὺς τὰς μὲν ἡμέρας διδέασι, τὰς δὲ νύκτας ἀφιᾶσι· τοῦτον δέ, ἢν σωφρονῆτε, τὴν νύκτα μὲν δήσετε, τὴν δὲ ἡμέραν ἀφήσετε. Ξε. ἀν. 5, 8, 24. [Ueber μετὰ ταῦτα z. Th. 1, 56.]

6. Ein Prädicat zu einem mit dem Artikel verbundenen Nomen gehörig tritt, wenn es voranzustellen ist, zwischen die Präposition und den Artikel. Beispiele § 50, 11, 2 u. 3, § 57, 3, 4.

A. Dieselbe Stellung ist auch üblich, wenn das Prädicat vorangestellt zu einem persönlichen Pronomen gehört. [z. Th. 1, 73, 1. 3, 53, 1.] Ἐπὶ πρῶτον ἐμὲ ἔρχεται. Πλ. Ἰπ. 281. Οὐ παρὰ δικασταῖς ὑμῖν οἱ λόγοι ἂν γίγνοιντο. Θ. 1, 73, 1. Οὐκ εἰς Δημοσθένην ὄντα με ἠσέλγαινεν. Δη. 21, 31. [Ἐπεμαρτύρετο μὴ ἀπόντος περὶ (πέρι) αὐτοῦ διαβολὰς ἀποδέχεσθαι. Θ. 6, 29, 2. αὐτοῦ del.?] (Ἦλθον ἐπὶ τὴν μητρόπολιν ἐφ' ἡμᾶς. Θ. 6, 82, 4 u. dort b. A.)

7. Wenn einem Nomen das von einer Präposition abhängt eine Apposition beigefügt ist, so wird die Präposition theils auch dieser beigefügt, theils nicht. S. § 57, 9, 2. 10, 4.

A. 1. Wiederholt wird die Präposition auch bei dem urgirenden οὗτος. S. § 51, 7, 5.

A. 2. Ueber Nicht-Wiederholung der Präposition beim Relativ § 51, 11, 1. (Φιλεῖ τὸ πλῆθος ἐν τούτοις τοῖς ἐπιτηδεύμασι τὸν βίον διάγειν ἐν οἷς ἂν τοὺς ἄρχοντας τοὺς αὑτῶν ὁρῶσι διατρίβοντας. Ἰσ. 3, 37. So nicht selten

ἔν vgl. m. Anm. zu Thuk. 2, 86, 1; ἐξ Isokr. 19, 46; ἐπί Aisch. 2, 68, ὑπέρ 3, 81; ἀπό sogar bei der Assimilation Xen. π. πόρων 4, 13 und epanaleptisch § 51, 11, 2 vgl. Poppo zu Thuk. 3, 64. Wenn der relative Satz vorangeht, so muß die Präposition beide Male stehen.

8. Wenn mit einem von einer Präposition regierten Begriffe ein andrer durch ὡς oder ὥσπερ [καθάπερ] verglichen angefügt wird, so steht die Präposition gewöhnlich bei beiden, wenn die Vergleichung folgt; bei ὡς regelmäßig, bei ὥσπερ gewöhnlicher nur bei der Vergleichung, wenn diese vorangeht; wohl immer nur bei ihr, wenn sie ein bloßes Adjectiv ist und vorangeht. [z. Dion. p. 259.] *Παρ' ἡμᾶς φοιτᾷ ὡς παρὰ φίλους. Πλ. πολ.* 328. (*Ὡς βασιλέα πλέομεν ὥσπερ πρὸς δεσπότην. Ἰσ.* 4, 121.) *Μὴ ὡς ὑπὲρ ἀλλοτρίας, ἀλλ' ὡς οἰκείας τῆς πόλεως βουλεύεσθε. Αἰ.* 3, 255. (*Οἱ ἡμέτεροι περὶ οὐδὲν οὕτω τῶν ὄντων ἐσπούδαζον ὡς τὸ παρὰ τοῖς Ἕλλησιν εὐδοκιμεῖν. Ἰσ.* 22, 188.) — (*Ἡ ψυχὴ ἐκλύεται ὥσπερ ἐκ δεσμῶν ἐκ τοῦ σώματος. Πλ. Φαίδ.* 67. *Ὥσπερ ἐν κατόπτρῳ ἐν τῷ ἐρῶντι ἑαυτὸν ὁρῶν λέληθεν. Πλ. Φαῖδ.* 255, d.) *Ὡς ἐν κατόπτροις αὐτῶν ταῖς πράξεσιν ἡγήσω καθεωρακέναι τὴν πάντων ἀμέλειαν. Πλ. νό.* 905. *Λεῖ ὡς περὶ μητρὸς καὶ τροφοῦ τῆς χώρας οὕτω βουλεύεσθαι. Πλ. πολ.* 414. *Οἱ Μεσσήνιοι ὡς ἐς πατρίδα ταύτην πέμψαντες σφῶν αὐτῶν τοὺς ἐπιτηδειοτάτους ἐλήιζον τὴν Λακωνικήν. Θ.* 4, 41, 1. — *Ὡς πρὸς φίλους ὄντας μοι τοὺς θεοὺς οὕτω διάκειμαι. Ξε. Κυ.* 1, 6, 4. — *Ὑμᾶς χρὴ ὅταν τελευτήσω ὡς περὶ εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. Ξε. Κυ.* 8, 7, 6. *Ὥσπερ ἐν ἀλλοτρίᾳ τῇ πόλει ἐκινδύνευον. Ἰσ.* 8, 12.

9. Wenn zwei oder mehrere Begriffe von derselben Präposition abhangen, so setzte man sie gewöhnlich nur ein Mal bei copulativer, oft auch bei adversativer Verbindung. Eben so in correspondirenden Fragen. Vgl. Reg. z. Th. u. Präpositionen. (*Ὑπό τε τῶν ἄλλων ἀνθρώπων καὶ ὑπὸ τῶν ἔπειτα πολὺ θαυμασθήσεσθε. Θ.* 7, 56, 2.) Vgl. § 69, 59, 2. *Ἡγοῦμαι ὑμῖν τοῖς δικασταῖς, περὶ πολλοῦ εἶναι τὰς φονικὰς δίκας ὀρθῶς διαγιγνώσκειν, μάλιστα μὲν τῶν θεῶν ἕνεκα καὶ τοῦ εὐσεβοῦς, ἔπειτα δὲ καὶ ὑμῶν αὐτῶν. Ἀντ.* 6, 3. [vgl. Th. 1, 141, 6.] *Εὑρήσετε τοὺς πλείστους τῶν ἀνθρώπων ἄμεινον βουλευομένους ὑπὲρ τῶν ἐχθρῶν ἢ σφῶν αὐτῶν. Ἰσ.* 8, 106. [z. Th. 7, 77, 1 vgl. 47, 3.] *Ἐγὼ οἶμαι ὑμᾶς* [δεῖν] *οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι ἀλλὰ τῆς τούτων διανοίας. Αν.* 10, 7 wiederholt 11, 3. *Δῆλον ἐγένετο ὅτι τούτου ἕνεκα ἔλθοι, οὐ τῆς τῶν Ἑλλήνων εὐνοίας. Ξε. ἀν.* 4, 7, 20. *Οἱ τριάκοντα πολλοὺς μὲν ἔχθρας ἕνεκα ἀπέκτεινον, πολλοὺς δὲ χρημάτων. Ξε. Ἑλ.* 2, 3, 21. — *Πῶς ἔχει δόξης τοῦ τοιοῦδε πέρι; Τίνος δή; Τοῦ ὑπολαμβάνειν παρὰ σεαυτῷ τὸν μὲν ἀμείνω ἄνδρα, τὸν δὲ χείρω. Πλ. πολ.* 456. — (*Βασιλεία καταλύεται ἢ καί τις ἀρχὴ πώποτε κατελύθη μῶν ὑπό τινων ἄλλων ἢ σφῶν αὐτῶν; Πλ. νό.* 683.

A. 1. Ueber Ergänzung des Substantivs zu der Präposition aus dem Vorhergehenden § 50, 1, 22.

[A. 2. Nur Dichter erlaubten sich auch die Präposition erst dem zweiten Worte beizufügen. *Χρὴ Μεγαρέας μήτε γῆ μήτ' ἐν ἀγορᾷ μένειν. Ἀρ. Ἀχ.* 533. Vgl. Lobeck zu Soph. Ai. p. 249.]

A. 3. Nicht anstößig war es dieselbe Präposition kurz hinter her, etwa nur durch den Artikel getrennt, zwei Mal zu gebrauchen. [z. Th. 1, 54, 1.] *Λακεδαιμόνιοι ἐσφάλησαν ἐν τῇ ἐν Λεύκτροις μάχῃ. Ξε. Ἑλ.* 7, 2, 2.

A. 4. Ein mehrern parataktisch verbundenen Präpositionen gemeinschaftliches Object muß im Griechischen wie im Lateinischen bei jeder Präposition stehen: *ἐπὶ γῆς καὶ ὑπὸ γῆς* auf und unter der Erde.

10. Mit der ein Mal gesetzten Präposition zwei verschiedene Casus zu verbinden war unstatthaft. [z. Th. 6, 34, 4.]

11. Den Casus der Präposition bestimmte ursprünglich die Bedeutung desselben. Vgl. § 46, 1, 1—3. Es regieren aber

1) den Genitiv *πρό, ἀπό, ἔκ* oder *ἐξ, ἀντί* und die uneig. *ἄνευ, ἕνεκα.* Vgl. § 69, *ἄχρι* u. *μέχρι*;
2) den Dativ *ἔν* und *σύν* (*ξύν*);
3) den Accusativ *εἴς*, (*ὡς*) u. *ἀνά* [dies dicht. auch den Da.];
4) den Genitiv und Accusativ *διά, κατά, ὑπέρ, μετά* [dies bei Dichtern auch den Dativ];
5) den Genitiv, Dativ und Accusativ *ἀμφί, περί, παρά, πρός, ἐπί, ὑπό.*

A. Die märkische Grammatik faßt die Rection der eigentlichen Präpositionen in folgende Verse:

Setz ἔκ, πρό, ἀπ', ἀντί zum zweiten Casus hin,
zum vierten εἴς, ἀνά, zum dritten ἔν und σύν;
zwei Casus liebt διά, κατά, ὑπέρ, μετά,
drei πρός, ἀμφί, περί, ἐπί, ὑπό, παρά.

II. Ueber ἔν und σύν; ἀντί, πρό, ἀπό; ἐξ, ἄνευ und ἕνεκα.

12. *Ἐν* in mit dem Da. bezeichnet in weitester Bedeutung daß etwas im Umfange oder Bereiche des Begriffes enthalten sei. [Vgl. die Reg. zu Kr.'s Ausgaben.]

A. 1. Ueber das locale ἔν § 46, 1, 3 (ἐν Ἀρίφρονος κ. § 43, 3, 6), das temporale § 48, 2, 6—9. Ersteres steht zuweilen auch für unser auf; besonders aber für unser bei, an, da der Grieche bei den Ortsnamen auch das Gebiet, die Umgebungen des Ortes mit umfaßt dachte. *Ἐν γῇ πένεσθαι κρεῖττον ἢ πλουτοῦντα πλεῖν. Ἀντιφά.* 101. — *Λεωτυχίδης ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων. Θ.* 1, 89, 1. *Ἦλθον εἰς Τραπεζοῦντα, πόλιν Ἑλληνίδα, οἰκουμένην ἐν τῷ Εὐξείνῳ πόντῳ. Ξε. ἀν.* 4, 8, 22 mit d. A.

(A. 2. Bei Verben der Bewegung bezeichnet ἔν das erreichte Ziel. Doch beschränkt dieser Sprachgebrauch sich bei att. Schriftstellern auf die Verbindung mit dem Perfect oder Plusquamperfect. [z. Th. 4, 14, 1.] Denn mehr als zw. sind Thuk. 4, 42, 3. 7, 17, 2, Xen. Hell. 7, 5, 10. Als Perfect gilt auch οἴχομαι. [Xe. An. 4, 7, 17.] Vgl. § 52, 1, 4. Nur bei τιθέναι und ähnlichen Verben findet sich neben εἰς auch ἔν, in sofern die Ruhe als Ergebniß zu bezeichnen ist. *Ἐς τὸ Ἡραῖον κατέφυγον. οἱ δὲ ἐν τῷ Ἡραίῳ καταπεφευγότες ἐξῆσαν. Ξε. Ἑλ.* 4, 5, 5. *Ὠιχοντο ἐν τοῖς ὀχυροῖς καὶ τὰ ἐπιτήδεια ἐν τούτοις ἀνακεκομισμένοι ἦσαν. Ξε. ἀν.* 4, 7, 17. — *Θὲς ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους. Σο. ἀποσ.* 535. Regelmäßig ist δῆσαι ἐν πέδαις. Lobeck Paralipp. p. 524.)

A. 3. Bei Pluralen individueller Gegenstände (wie bei Collectiven) heißt ἔν auch unter (eben so im Gebiete der —); durch vor übersetzbar bei Begriffen des Redens, durch zu bei denen des Zuzählens. *Ὀχληρόν ἐστιν ἐν νέοις ἀνὴρ γέρων. Μέ. μο.* 693. *Πορευόμενοι ἐν τοῖς φίλοις ἦσαν. Ξε. ἀν.* 5, 4, 32. *Οἱ Κρητῶν νόμοι οὐκ εἰσὶ μάτην διαφερόντως ἐν πᾶσιν εὐδό-*

κιμοι τοῖς Ἕλλησιν. Πλ. νό. 631. — Ῥητορικοὺς καλῶ τοὺς ἐν τῷ πλήθει (ἐν τοῖς πολλοῖς) λέγειν δυναμένους. Ἰσ. 15, 256. Οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν ἀλλ' ἐν Λακεδαιμονίοις. Ἀρλ. ῥητ. 3, 14. Οὐ δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους; Ξε. ἀπ. 2, 2, 1. Τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων δοκεῖ ἐν τοῖς μεγίστοις εἶναι. Ξε. Κυ. 1, 6, 24.

A. 4. In mannigfachen Beziehungen bezeichnet ἔν in welcher Sphäre ſich etwas befinde, mit ſehr ausgedehntem Gebrauche auch in uneigentlichem Sinne. Δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις. Δη. 20, 162. Ἐν ταῖς ὀλιγαρχίαις οὐκ ἔστι κακῶς λέγειν τοὺς ἄρχοντας. Δη. 22, 32. Τὸ ἐν ἰσηγορίᾳ δοκοῦντά τινος ἄξιον εἶναι τιμᾶσθαι τῶν καλῶν ἐστιν. Δη. 20, 16. — Κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει. Σο. Αἴ. 1352. Πρωταγόρας τετταράκοντα ἔτη ἐν τῇ τέχνῃ ἦν. Πλ. Μέ. 91. Ἄχρηστοι τοῖς πολλοῖς οἱ ἐπιεικέστατοι τῶν ἐν φιλοσοφίᾳ. Πλ. πολ. 489. — Οἱ βασιλεύσαντες ἐπαίδευσαν τὸ πλῆθος ἐν ἀρετῇ. Ἰσ. 12, 138. Ἐν ταῖς ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἔχειν βίον. Εὐ. Ἰνώ 20. Ὡς μακάριον φρόνησις ἐν χρηστῷ τρόπῳ. Δίφ. 113.

A. 5. Leicht erklären ſich Redensarten wie ἐν ὅπλοις εἶναι unter den Waffen ſein, ἐν παρασκευῇ εἶναι ſich mit Rüſtungen beſchäftigen [z. Th. 2, 80, 2], ἐν ἐλπίδι εἶναι [zu 4, 70, 3]; ἐν αἰτίᾳ ἔχειν τινά Jemandem Vorwürfe machen [z. Th. 1, 35, 2], ἐν ὀργῇ ἔχειν (ποιεῖσθαι) τινά Jemanden zürnen [z. Th. 2, 18, 3 vgl. Dem. 1, 16] u. ä.

A. 6. In ſofern eine Wirkung in dem Object beruht bezeichnet ἔν den Gegenſtand auf den etwas ankommt, von dem es abhängt; von Sachen gebraucht oft unſer durch. Τίς ἡ ἐμὴ δύναμις; ἀλλ' ἐν σοὶ πάντα ἐστίν. Ξε. οἰκ. 7, 14. Ὅλης τῆς Ἑλλάδος ἐν ταῖς γυναιξὶν ἐστιν ἡ σωτηρία. Ἀρ. Λυ. 30. [Elmsley zu Eu. Med. 223.] — Ἐν ταῖς ναυσὶ τῶν Ἑλλήνων τὰ πράγματα ἐγένετο. Θ. 1, 74, 1. Ἐν τῷ δικαίῳ ἐλπίδες σωτηρίας. Εὐ. Ἑλ. 1031. Ἐν τῷ ἕκαστον δικαίως ἄρχειν ἥ τε πολιτεία καὶ τὸ ἄλλο πλῆθος τὸ ὑμέτερον σώζεται. Λυ. 26, 9.

A. 7. Ueber ἔν von der Zeit ꝛc. § 48, 2 mit den A.; mit Subſtantivirungen adverbartig § 43, 4, 5; ἐν ἑαυτῷ (ἑαυτοῦ) εἶναι § 47, 6, 6; ἐν Διονύσου ꝛc. § 43, 3, 6.

13. *Σύν* (ξύν) mit, gleichfalls den Dativ regierend, bezeichnet Verbindung und Zuſammenhang, woraus ſich der Begriff der Unterſtützung entwickelt.

A. 1. Daß σύν τινι mehr Cohärenz, μετά τινος mehr Coexiſtenz bezeichne ergiebt ſchon die Vergleichung der Compoſita, z. B. συνέχω und μετέχω, συλλαμβάνω und μεταλαμβάνω. Vgl. über ἕπεσθαι σύν τινι und μετά τινος § 48, 7, 12. Τῆς γῆς σὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν. Σο. OT. 54. Ὅσοι γε σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεί, κἂν μὴ παραυτίκ', αὖθίς εἰσι χρήσιμοι. Εὐ. Ὀρ. 909. — Σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις. Εὐ. Ἀρχ. 12. Ὁ διδάσκαλος σὺν τῷ νόμῳ ἐκέλευεν ἀεὶ τὸν δικαστὴν ψῆφον τίθεσθαι. Ξε. Κυ. 1, 3, 17. Σὺν τῷ δικαίῳ τοι μέγ' ἔξεστιν φρονεῖν. Σο. Αἴ. 1125. — Ἡ κτῆσις τῶν πιστῶν ἔστιν οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ. Ξε. Κυ. 8, 7, 13.

A. 2. Σὺν (τοῖς) θεοῖς heißt mit Gewährung, gew. mit Hülfe der Götter und brachylogiſch σὺν θεῷ (θεοῖς) εἰρήσεται, εἰπεῖν unter Vorausſetzung göttlicher Hülfe ſei es geſagt. [Hermann zu So. OK. 282.] (Ἡ εὐτυχεῖς σὺν τῷ θεῷ φανούμεθ' ἢ πεπτωκότες. Σο. OT. 145.) Σὺν θεοῖς οὐδενὸς ἀπορήσομεν. Ξε. Κυ. 6, 4, 19. Πολλαὶ ὁδοὶ σὺν θεοῖς εὐπραγίας. Πίνδ. Ὀλ. 8, 14. — Οἶμαι μέν, οἶμαι, σὺν θεῷ δ' εἰρήσεται, ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας. Ἀρ. πλ. 114. Νῦν, σὺν θεοῖς εἰπεῖν, πολλὰς ἐλπίδας ἔχω. Δη. 29, 1.

14. *Ἀντί*, in der urſprünglichen Bedeutung gegenüber ziemlich

verſchollen [Xen. An. 4, 7, 6?], hat den Grundbegriff gegen, ſtatt, und regiert den Genitiv.

A. 1. Daher bezeichnet es Gleichſtellung oder Gleichgeltung, z. B. bei Verben des Tauſches u. ä.; demnächſt auch Stellvertretung; oft brachylogiſch, mit ſeinem Subſtantiv für einen entſprechenden Satz gebraucht. Ἓν ἀνθ' ἑνὸς οὐκ ἐλάχιστον ἔχωγε θείην ἂν εἰς πολλὰ ἀνδρὶ νοῦν ἔχοντι πλοῦτον χρησιμώτατον εἶναι. Πλ. πολ. 331. Ἡδύ γε πατὴρ φρόνησιν ἀντ' ὀργῆς ἔχων. Μέ. μο. 669. Δεῖ τὰ μὲν ἀντ' ἀργυρίου ἀλλάξασθαι τοῖς τι δεομένοις ἀποδόσθαι, τοῖς δὲ ἀντὶ αὖ ἀργυρίου διαλλάττειν ὅσοι τι δέονται πριάσθαι. Πλ. πολ. 371. Τὸ βέλτιστον ἀντὶ τῆς δόξης τῆς παρὰ τῶν ἀνθρώπων αἱρεῖσθε. Πλ. Φαῖδ. 232. Ἀντὶ τοῦ τιμωρεῖν τοῖς τυράννοις αἱ πόλεις μεγάλως τιμῶσι τὸν ἀποκτείναντα τὸν τύραννον. Ξε. Ἱέρ. 4, 5. — Κακὰ πράττει ἀντ' ἀγαθῶν. Πλ. Φαῖδ. 260. Οὐκ ἔστι τοῦτο, ὡς ἔοικεν, ἐν ἀνθρώπου φύσει ἐπὶ ἃ οἴεται κακὰ ἰέναι ἀντὶ τῶν ἀγαθῶν. Πλ. Πρω. 358.

A. 2. Ueber ἀνθ' ὧν § 51, 10, 4; ἀντί beim Comparativ § 49, 2, 7. [So gebrauchen die Tragiker es auch nach ἄλλος für ἤ. Οὐκ ἔστιν ἄλλη σή τις ἀντ' ἐμοῦ γονή. Εὐ. Ἑλ. 574.

15. *Πρό* eig. vor regiert den Genitiv.

A. 1. So zunächſt local, auch uneigentlich und temporal. Aus jener Bedeutung entwickelte ſich der Begriff zum Schutze, zum Beſten für. Πρὸ τῶν ὀφθαλμῶν προφαίνεται. Αἴ. 2, 148. Μινῴα ἡ νῆσος κεῖται πρὸ Μεγάρων. Θ. 3, 51, 1. Πολύ τι σκότος, ὡς ἔοικεν, ἐστὶ παρ' ὑμῖν πρὸ τῆς ἀληθείας. Δη. 18, 159. — Πίνδαρον τὸν ποιητὴν οἱ πρὸ ἡμῶν γεγονότες ὑπὲρ ἑνὸς μόνου ῥήματος, ὅτι τὴν πόλιν ἔρεισμα τῆς Ἑλλάδος ὠνόμασεν, ἐτίμησαν. Ἰσ. 15, 166. — Πρὸ δεσποτῶν τοῖσι γενναίοισι δούλοις εὐκλεέστατον θανεῖν. Εὐ. Ἑλ. 1640. Πολλάκις ἃ πρὸ αὐτοῦ τις οὐκ ἐξειργάσατο, ταῦτα ὁ φίλος πρὸ τοῦ φίλου ἐξήρκεσεν. Ξε. ἀπ. 2, 4, 7.

A. 2. Den Vorzug bezeichnet πρό bei Begriffen der Wahl und Schätzung; auch bei Comparativen nach § 49, 2, 7. Sodann heißt es auch bloß anſtatt. Γελοῖον καὶ φαῦλον τὸ πρὸ τῶν βελτίστων τὰ βραχύτερα αἱρουμένους φαίνεσθαι. Πλ. νό. 887. Βούλου γονεῖς πρὸ παντὸς ἐν τιμαῖς ἔχειν. Μέ. μο. 72. Πρὸ πολλοῦ ποιησαίμην ἄν σοι κεχαρισμένως εἰπεῖν. Ἰσ. 5, 14. — Τὴν αὐτὴν δύναται δούλωσιν ἥ τε μεγίστη καὶ ἐλαχίστη δικαίωσις πρὸ δίκης τοῖς πέλας ἐπιτασσομένη. Θ. 1, 141, 1.

16. *Ἀπό* von, mit dem Ge., bezeichnet urſprünglich Abſcheidung. [Reg. z. Th. u. ἀπό.]

(A. 1. Entfernung bezeichnet ἀπό in eigentlicher wie in uneigentlicher Bedeutung: ἀπὸ σκοποῦ fern vom Ziele und fern vom Zwecke, nicht treffend, wie ἀπὸ τρόπου = πόρρω τοῦ καθήκοντος. Αἱ παλαιαὶ πόλεις διὰ τὴν λῃστείαν ἀπὸ θαλάσσης μᾶλλον ᾠκίσθησαν. Θ. 1, 7, 2. Οὐδένα ἔβαλε τῶν ἀπὸ τοῦ σκοποῦ ἀφεστώτων. Ἀντ. 3, β, 5. Οὐκ ἀπὸ σκοποῦ εἴρηκεν αἴσθησιν καὶ ἐπιστήμην ταὐτὸν θέμενος. Πλ. Θε. 179. Οὐδὲν ἀπὸ τρόπου λέγεις. Ὅρα δὴ καὶ εἰ τόδε πρὸς τρόπου λέγω. Πλ. πολ. 470.)

A. 6. Aus dieſer Bedeutung entwickelt ſich die cauſſale (des Ausſchlages): halber, wegen. [z. Th. 1, 141, 6.] Οὐδὲν ἂν παρ' ἕνα ἄνθρωπον ἐγένετο τούτων. Λυκ. 63. Οὐδεὶς παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν οἴεται βλάψειν. Θ. 1, 141, 6.

A. 7. Der comparativen Bedeutung zur Seite geht die adverſative: neben, außer, wider. Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα. Ἀρ. νε. 697. Ὁ νόμος τύραννος ὢν τῶν ἀνθρώπων πολλὰ παρὰ τὴν φύσιν βιάζεται. Πλ. Πρω. 337. Ὁ παρ' ἡλικίαν νοῦς μῖσος ἐξεργάζεται. Μέ. μο. 690. Οὐδενὶ πώποτε ξυνεχώρησα οὐδὲν παρὰ τὸ δίκαιον. Πλ. ἀπ. 33. Πολλὰ παρὰ γνώμην ἐν τοῖς δικαστηρίοις ἀποβαίνει. Ἰσ. 18, 9. Παρ' ἐλπίδας μοῖρα βαίνει. Εὐ. Ὀρ. 977. Εἰκὸς γίγνεσθαι πολλὰ καὶ παρὰ τὸ εἰκός. Ἀγάθων Ἀρλ. ποιητ. 18, 12. Τὸ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγνεται. Δη. 1, 23.

37. *Πρός* mit dem Ge. heißt eig. von — her, von Seiten. [Reg. z. Th. u. *πρός*.]

A. 1. So ſteht es local, wo wir es (wie ab) durch nach — zu überſetzen [z. Th. 1, 62, 1]; ferner von der Abſtammung: von Seiten, wie vom Charakter: gemäß, und von der Parteinahme: auf Seiten; dann auch zum Vortheile des. [z. Th. 2, 86, 3.] Ὥσπερ Χαλκὶς τῷ τόπῳ τῆς Εὐβοίας πρὸς τῆς Βοιωτίας κεῖται, οὕτω Χερσονήσου κεῖται πρὸς τῆς Θράκης ἡ Καρδιανῶν πόλις. Δη. 23, 182. Τὸ πρὸς Σικυῶνος καὶ πρὸς ἑσπέρας τεῖχος ἐξετείχισαν. Ξε. Ἑλ. 4, 4, 18. — Ἀλκιβιάδης λέγεται πρὸς πατρὸς μὲν Ἀλκμαιωνιδῶν εἶναι, πρὸς δὲ μητρὸς Ἱππονίκου. Δη. 21, 144. — Χρηστοῦ πρὸς ἀνδρὸς μηδὲν ἐννοεῖν κακόν. Μέ. 773. Πρὸς τοῦ Λακωνικοῦ τρόπου τὸ τὰ βραχύτερα ἀεὶ προτιμᾶν. Πλ. νό. 721. — Δεῖ τίθεσθαι τὰ ὅπλα πρὸς τοῦ λογιστικοῦ. Πλ. πολ. 440. Καλλίας μοι δοκεῖ πρὸς Πρωταγόρου εἶναι. Πλ. Πρω. 336. Πρὸς τῶν ἐχόντων Φοῖβε τὸν νόμον τίθης. Εὐ. Ἄλκ. 57.

A. 2. In der Formel πρὸς (τῶν) θεῶν bei den Göttern u. ä. (bei den Komikern zuweilen, bei den Tragikern immer ohne Artikel) wird das Erflehte eig. als ein von den Göttern zu Veranlaſſendes vorgeſtellt. Außerdem heißt πρὸς θεῶν auch vor den Göttern, von ihren Geſinnungen her. Πρὸς παίδων καὶ γυναικῶν καὶ θεῶν ἱκετεύω ὑμᾶς καὶ ἀντιβολῶ, ἐλεήσατέ με. Αν. 4.

20. Τὴν εὐγένειαν, πρὸς θεῶν, μή μοι λέγε. Εὐ. Αἴο. 4. — Ὅ, τι δίκαιόν ἐστι καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων, τοῦτο πράξω. Ξε. ἀν. 1, 6, 6. [Perſon zu Eu. Med. 325.]

(A. 3. Von — her, von Seiten heißt πρός auch bei Paſſiven (§ 52, 5, 2) und in ähnlichen Verbindungen. Αἱ βαναυσικαὶ τέχναι ἀδοξοῦνται πρὸς τῶν πόλεων. Ξε. οἰκ. 4, 2. Ἡ γεωργία δοκεῖ ἐνδοξοτάτη εἶναι πρὸς τῶν πόλεων. Ξε. οἰκ. 6, 10. Εἰκὸς ξύγγνωμόν τι γίγνεσθαι πρὸς τοῦ θεοῦ. Θ. 4, 98, 4.)

38. Mit dem Da. heißt *πρός* bei.

A. So im localen Sinne. Daran ſchließt ſich die Formel εἶναι πρὸς πράγματι mit einer Sache beſchäftigt ſein. Sodann heißt πρός mit dem Da. auch außer. Οἱ ποταμοὶ πρὸς ταῖς πηγαῖς οὐ μεγάλοι εἰσίν. Ξε. Ἑλ. 4, 2, 11. Τήν τε ἀγορὰν κατέλαβον καὶ τὸν λιμένα τὸν πρὸς αὐτῇ καὶ πρὸς τὴν ἤπειρον. Θ. 3, 72. — Πρὸς τῷ λαβεῖν ὧν ὁ νοῦς τἄλλ' οὐχ ὁρᾷ. Δίφ. 93. Πρὸς τῷ εἰρημένῳ λόγῳ ἦν. Πλ. Φαίδ. 87. — Τοῦτ' ἐὰν σκοπῇ, κακὰ πρὸς τοῖς κακοῖσιν οὗτος ἕτερα συλλέγει. Φιλή. 87.

39. Mit dem Ac. heißt *πρός* eig. zu. [Reg. z. Th. u. *πρός* III.)

A. 1. So bezeichnet es local und temporal eine Richtung: local ſowohl auf Orte als auf Perſonen und Sachen; auf dieſe auch in uneigentlichem Sinne: zu, nach, gegen, auf, auch von anzugreifenden Geſchäften. Σικελοὶ τὰ μέσα καὶ τὰ πρὸς βορρᾶν τῆς νήσου ἔχουσιν. Θ. 6, 2, 5. — Ἦν πρὸς ἡμέραν. Λυ. 1, 14. Ἔφυγον πρὸς (εἰς) τὴν γῆν. Ξε. Ἑλ. 1, 1, 17. Ἐνόμιζεν οὕτω πρὸς τοὺς φίλους καὶ εἰς τὴν πόλιν τοὔνομα μεῖζον ἀφίξεσθαι. Ξε. ἀν. 5, 9, 20. Ὅταν ἴδῃς πρὸς ὄψος ἠρμένον τινά, τούτου ταχείαν νέμεσιν εὐθὺς προσδόκα. Εὐ. ἀποσ. 181. Φιλεῖ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν. Σο. Ἠλ. 972. Κακὸν γυναῖκα πρὸς νέαν ζεῦξαι νέον. Εὐ. Αἴολ. 8. Ἃ ἂν μάθῃ τις, ταῦτα σώζεσθαι φιλεῖ πρὸς γήρας. Εὐ. Ἰκ. 916. — Παύσασθε καὶ πρὸς ἔργον ἐξορμώμεθα. Εὐ. Ὀρ. 1240. Ἀθρόως μὲν ἦλθον ἐπὶ τὰ ὅπλα, ἀθρόως δὲ πρὸς τὰς φυλακάς. Ξε. ἀν. 2, 1, 40. Ὧι μανθάνομεν πρὸς τὸ εἰδέναι τὴν ἀλήθειαν ὅπῃ ἔχει πᾶν ἀεὶ τέτακται. Πλ. πολ. 581. Ἡ φιλοτιμία μάλιστα παροξύνει πρὸς τὰ καλὰ καὶ ἔντιμα. Ξε. ἀν. 3, 3, 13. Φιλονεικείτω ἡμῖν πᾶς πρὸς ἀρετὴν ἀφθόνως. Πλ. νό. 731.

A. 2. So ſteht πρός τινα auch bei Begriffen des Sprechens, Ueberlegens u. ä. vgl. § 48, 7, 13. (Bei unperſönlichen Begriffen nie der bloße Dativ.) Verwandt iſt die Formel οὐδέν ἐστι τούτων πρὸς ἐμέ nichts von dem trifft mich. (Δη. 18, 21.) Bei λογίζεσθαι und ἐνθυμεῖσθαι erſcheint (neben παρ' ἑαυτῷ) auch πρὸς ἑαυτόν. Τί φῄς; λαθεῖν ζητῶν τι πρὸς γυναῖκ' ἐρεῖς; Ἀντιφά. 284. Εἰρήσεται πᾶσα πρὸς ὑμᾶς ἡ ἀλήθεια. Δη. 32, 26. Σιγῇ μου ἀκούσατε διηγουμένου ἅπαντα πρὸς ὑμᾶς. Δη. 50, 3. Τῶν ἀπόντων φίλων μέμνησο πρὸς τοὺς παρόντας. Ἰσ. 1, 26. Γοργίας πρὸς ἅπαντα ἕτοιμος ἀποκρινεῖσθαι. Πλ. Γο. 447. Ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ. Δη. 18, 44. — Λογίσασθε πρὸς ὑμᾶς αὐτοὺς τί συμβήσεται. Δη. 20, 163. Ἐνθυμεῖσθε πρὸς ὑμᾶς αὐτοὺς εἴ τινας πώποτε ἠκούσατε οἴνον Ἀθήναζε ἐκ τοῦ Πόντου κατ' ἐμπορίαν εἰσάγοντας. Δη. 35, 35.

A. 3. Die Richtung kann als Anſtreben auch feindſelig gedacht werden: gegen, wider. Vgl. § 48, 9, 2. Ἐν τῇ ἑκάστου γνώμῃ φιλανθρωπία πρὸς φθόνον καὶ δικαιοσύνη πρὸς κακίαν ἀντιτάττεται. Δη. 20, 165. Πρὸς τὴν ἀνάγκην πάντα τἄλλ' ἔστ' ἀσθενῆ. Εὐ. Βελ. 15. Πρὸς τοὺς πολεμίους ἐστὶν ἀνδρίας κρίσις. Φιλ. 9, 14. Πρὸς οἶον ὀργὴν οὐκ ἔχει χρηστὸς πατήρ. Μέ. μο. 450. — Οὐ δικαζόμεθα πρὸς αὐτούς. Θ. 3, 44, 3. Πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου. Εὐ. Πελ. 4. Θάρσος γε πρὸς τὰς συμφορὰς μέγα σθένει. Εὐ. Βελ. 14. Οἱ Πέρσαι πεπαίδευνται καὶ πρὸς λιμὸν καὶ πρὸς ῥῖγος καρτερεῖν. Ξε Κυ. 2, 3, 13.

A. 4. Eine Beziehung, ein Verhältniß überhaupt bezeichnet πρός mit dem Ac. bei den Begriffen des Verkehrs und der Gesinnung: mit, gegen vgl. § 48, 9. Ὁμίλει τῶν πόλεων πρὸς τὰς ἥττους ὥσπερ ἂν τὰς κρείττους πρὸς σεαυτὸν ἀξιώσεως. Ἰσ. 2, 24. Ἡδέως μὲν ἔχε πρὸς ἅπαντας, χρῶ δὲ τοῖς βελτίστοις. Ἰσ. 1, 20. Νῦν πρὸς ἀλλήλους δι' ἀντιλογιῶν πειρώμεθα καταλλαγῆναι. Θ. 4, 59, 3. — Δεινὸν εὐτυχῶν ἀνὴρ πρὸς κακῶς πράσσοντας. Εὐ. Ὀρ. 1553. Ὁ σκληρότατος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν τοῖς μὲν λόγοις πικρός ἐστι, τοῖς δ' ἔργοις πατήρ. Μέ. 627. Πρὸς τὸν τελευτήσαντ' ἕκαστος, κἂν σφόδρα πρὶν ἐχθρὸς ᾖ τις, γίγνεται φίλος τότε. Διον. 6. — Τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς ἔργοις ἐνδείκνυσθε μᾶλλον ἢ ἐν τοῖς λόγοις. Ἰσ. 3, 61. Βεβαιόταται δοκοῦσι φιλίαι εἶναι γονεῦσι πρὸς παῖδας. Ξε. Ἱέρ. 3, 7. Ἐν ταῖς πρὸς ἀλλήλους συνουσίαις ἢ λοιδοροῦσιν ἢ λοιδοροῦνται. Ἰσ. 2, 47. Ἄγει τὴν πρὸς ὑμᾶς εἰρήνην. Δη. 9, 17. Τὰς συνθήκας τὰς πρὸς ἀλλήλους ἀπιστίας ἕνεκα ποιούμεθα. Αἰ. 1, 161.

A. 5. Die Beziehung erscheint oft bloß als Berücksichtigung oder Vergleichung: mit Rücksicht auf, gemäß; in Vergleich mit. [Ggs. καθ' ἑαυτό Xe. Mem. 3, 10, 12.] Vgl. § 49, 2, 8. Ἐλευθέρου τὸ μὴ πρὸς ἄλλον ζῆν. Ἀρλ. ῥήτ. 1, 9. Οἶδα τοὺς ἀνθρώπους πρὸς τὰς ξυμφορὰς καὶ τὰς γνώμας τρεπομένους. Θ. 1, 140, 1. Χρὴ πρὸς τὸ παρὸν ἀεὶ βουλεύεσθαι. Ἰσ. 4, 76. Οὐ πρὸς τὸ ἀργύριον τὴν εὐδαιμονίαν ἔκρινον. Ἰσ. 6, 34. — Οὐδὲν ἡ εὐγένεια πρὸς τὰ χρήματα. Εὐ. Ἀλκμή. 8. Τὰ σμικρὰ πρὸς τὰ μεγάλα σμικρά ἐστιν. Πλ. πολ. 575. Ἐν Ἀθήναις χρήματ' ἔνεστιν ὀλίγου δέω πρὸς ἁπάσας τὰς ἄλλας εἰπεῖν πόλεις. Δη. 14, 25. — Ἐθέλω σοι εἰπεῖν ὥσπερ οἱ γεωμέτραι, ὃ ὀψοποικὴ πρὸς ἰατρικήν, τοῦτο ῥητορικὴ πρὸς δικαστικήν. Πλ. Γο. 465. Δοκεῖς μοι τὸ εὔρυθμον οὐ καθ' ἑαυτὸ λέγειν ἀλλὰ πρὸς τὸν χρώμενον. Ξε. ἀπ. 3, 10, 12.

A. 6. Aehnlich bezeichnet πρός mit dem Ac. unpersönlicher Begriffe das Object in Bezug auf das eine Eigenschaft oder Handlung vorgestellt wird: zu, in Bezug auf. Τιμόθεος ἀφυὴς ἦν πρὸς τὴν τῶν ἀνθρώπων χρείαν. Ἰσ. 15, 131. Πρὸς ἕκαστα δεῖ ἢ ἐχθρὸν ἢ φίλον μετὰ καιροῦ γίγνεσθαι. Θ. 6, 85, 1. Τὰ γυμνάσια πρὸς τὰς στάσεις χαλεπά. Πλ. νό. 636. Τὸ τοὺς πολλοὺς ἀγυμνάστως ἔχειν πρός τε ψύχη καὶ πρὸς θάλπη οὐ δοκεῖ σοι πολλὴ ἀμέλεια εἶναι; Ξε. ἀπ. 2, 1, 6. — Οὐ τῷ πλήθει τῶν ἐτῶν πρὸς τὸ φρονεῖν εὖ διαφέρομεν ἀλλήλων. Ἰσ. 6, 4. Οὐ τῷ ἀριθμῷ οὔτε τὰ πολλὰ κρίνεται οὔτε τὰ ἱκανά, ἀλλὰ πρὸς τὰς χρήσεις. Ξε. Ἱέρ. 4, 8. Τόλμησόν ποτε πρὸς τὰς παρούσας συμφορὰς ὀρθῶς φρονεῖν. Αἰσ. Προ. 1000.

A. 7. Der Bezug kann auch als etwas zu Erreichendes gedacht werden: zu, zum Behuf. [Reg. z. Th. u. πρός II.] Πεπαιδεύμεθα πρὸς ἀρετήν. Ἰσ. 6, 102. Τίθεται ἑκάστη ἡ ἀρχὴ τοὺς νόμους πρὸς τὸ ἑαυτῇ συμφέρον. Πλ. πολ. 338. Ἄσκει τῶν περὶ τὸ σῶμα γυμνασίων μὴ τὰ πρὸς τὴν ῥώμην, ἀλλὰ τὰ πρὸς τὴν ὑγίειαν συμφέροντα. Ἰσ. 1, 14. Τοῖς δούλοις καὶ ἡ δοκοῦσα θηριώδης παιδεία εἶναι πάνυ ἐστὶν ἐπαγωγὸς πρὸς τὸ πείθεσθαι διδάσκειν. Ξε. οἰκ. 13, 9. Πρὸς τί με ταῦτ' ἐρωτᾷς; Ξε. ἀπ. 3, 7, 2.

A. 8. Von einzelnen Formeln bemerke man besonders πρὸς βίαν mit Gewalt, πρὸς ἡδονήν, χάριν (zum) nach Gelüst, nach Gefallen, schmeichlerisch. [z. Th. 3, 42, 5.] Τὸ πίνειν πρὸς βίαν ἴσον κακὸν πέφυκε τῷ διψῆν βίᾳ. Σο. ἀποσ. 701. Ἔπινον πρὸς ἡδονήν. Πλ. συ. 176. Οὐκ ἐθέλετ' ἀκούειν πλὴν τῶν πρὸς ἡδονὴν δημηγορούντων. Ἰσ. 8, 9. Οὐ πρὸς χάριν λέγω τοὺς λόγους οὓς λέγω, ἀλλὰ πρὸς τὸ βέλτιστον, οὐ πρὸς τὸ ἥδιστον. Πλ. Γο. 521. Τὸ πρὸς χάριν ῥηθὲν ἐπισκοτεῖ τῷ καθορᾶν ὑμᾶς τὸ τὸ βέλτιστον. Ἰσ. 8, 10. Ὅπως μὴ πρὸς ὀργὴν ἀντιλέξεις. Ἀρ. βά. 998. Ueber πρὸς φιλίαν freundschaftlich z. Xe. An. 1, 3, 19.

A. 9. Ueber πρός ohne Casus § 68, 2, 2.

40. Ἐπί mit dem Ge. heißt eig. auf. [Reg. z. Th. u. ἐπί.]

A. 1. So im localen Sinne, auch metaphorisch. Πᾶς ὅ, τ' ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. Πλ. νό. 728. Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις. Μέ. μο. 671. Λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα. Ἀρ. ἰπ. 1244.

A. 2. Demnächst bezeichnet es auch eine unmittelbare Nähe: an, bei, vor. Daher τὰ ἐπὶ Θράκης (χωρία) die griechischen Pflanzstädte an der thrakischen Küste. Λέπρεον κεῖται ἐπὶ τῆς Λακωνικῆς καὶ Ἠλείας. Θ. 5, 34, 1. Ποτίδαια ἐπικαιρότατον χωρίον πρὸς τὰ ἐπὶ Θράκης ἀποχρήσασθαι. Θ. 1, 68, 4. Εἴωθα λέγειν ἐν ἀγορᾷ ἐπὶ τῶν τραπεζῶν. Πλ. ἀπ. 171. — Ὁμόσωμεν τὰ ὡμολογημένα ἐπὶ τοῦ δικαστηρίου κύρια ἡμῖν ἔσεσθαι. Ἰσ. 5, 1.

A. 3. Auch bei Verben der Bewegung erscheint ἐπί mit dem Ge., nicht, wie mit dem Ac., bloß die Richtung, sondern das erreichte oder zu erreichende Ziel bezeichnend. Daher gew. ἐπ' οἴκου nach Hause; aber Xen. Kyr. 7, 2, 1 u. Hell. 7, 1, 29 war nur ἐπ' οἶκον statthaft. [Προσωτάτω τῆς ἐπ' οἴκου ὁδοῦ ἀπεχώρει. Ξε. Κυ. 7, 2, 1] Ἀνεχώρησαν ἐπ' οἴκου. Θ. 1, 50, 2. Ἠπόρησεν ὁποτέρωσε διακινδυνεύσῃ χωρήσας ἢ ἐπὶ τῆς Ὀλύνθου ἢ ἐς Ποτίδαιαν. Θ. 1, 63, 1. Ἀφικνοῦνται ἐπὶ Θράκης. Θ. 1, 60, 2. Πολὺν γέλωτα παρέξομεν καὶ ἐπὶ τῶν ἵππων καθήμενοι, οἶμαι δὲ καὶ ἐπὶ τῆς γῆς καταπίπτοντες. Ξε. Κυ. 4, 5, 54.

A. 4. In vielen Verbindungen ist ἐπί mit ἔν synonym, auch in temporaler Bedeutung, selbst bei persönlichen Objecten (vgl. § 47, 4, 6), besonders von deren Lenkung der Angelegenheiten: unter. [z. Arr. 2, 1, 4 lat A.] Οἱ Ἀθηναῖοι πολλὰς ἐφ' ἑκατέρας τῆς ἠπείρου πόλεις ἔκτισαν. Ἰσ. 4, 35. Οἱ μὲν ἐν ταῖς αὐτῶν ἀνόμως ἀπόλλυνται, οἱ δὲ ἐπὶ ξένης ἁλῶνται. Ἰσ. 4, 168. Ἀρχὴν ἄρχεις ἢ ἐπὶ στρατιᾶς τοῖς συσσίτοις ἀγοράζεις. Ἀρ. σφ. 557. Τοὺς λόγους ἐν εἰρήνῃ ἐπὶ σχολῆς ποιοῦνται. Πλ. Θε. 172. — Ἐπὶ τελευτῆς ἐπὶ τὴν δικαιοσύνην παρακαλῶ. Ἰσ. 15, 65. Τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης, ἐξεβλήθη. Ἀρ. ἰπ. 524. Ἠιδ' ἐφ' ἑσπέρας. Ἀρ. σφ. 102. Ἐπὶ τοῦ Δεκελεικοῦ πολέμου τὸ ναυτικὸν τῶν Ἀθηναίων ἀπώλετο. Δη. 22, 15. Πότερον ὑμῖν ἐνδοξοτέρα δοκεῖ ἡ πόλις εἶναι ἐπὶ τῶν νῦν καιρῶν ἢ ἐπὶ τῶν προγόνων; Αἰ. 3, 178. — Ἐπὶ Κέκροπος καὶ τῶν πρώτων βασιλέων ἡ Ἀττικὴ ἐς Θησέα ἀεὶ κατὰ πόλεις ᾤκειτο. Θ. 2, 15, 1. Ἐπὶ Κύρου ἄρχοντος ἦν καθεστηκὸς οὐδὲν φόρου πέρι. Ἡρ. 3, 89, 2. [z. Th. 8, 97, 2.] Οἱ Λακεδαιμόνιοι πολὺ ἐπικυδέστεροι ἐγένοντο ἐκ τῆς ἐπ' Ἀνταλκίδου εἰρήνης καλουμένης. Ξε. Ἑλ. 5, 1, 36.

A. 5. In manchen Verbindungen wird durch ἐπί der Begriff als ein von der Handlung betroffener bezeichnet: in, bei, an; bei λέγειν von. Τὸ δίκαιον ἄν τ' ἐπὶ μικροῦ τις, ἄν τ' ἐπὶ μείζονος παραβαίνῃ, τὴν αὐτὴν ἔχει δύναμιν. Δη. 9, 16. Ὁρῶ ἐπὶ πάντων ὁμοίως καὶ φύσει διαφέροντας ἀλλήλων τοὺς ἀνθρώπους καὶ ἐπιμελείᾳ πολὺ ἐπιδιδόντας. Ξε. ἀπ. 3, 9, 3. Συμφέρει ἐπί τε τῶν ἄλλων ἁπάντων καὶ μάλιστ' ἐπὶ τῶν λόγων μὴ τὰς εὐτυχίας, ἀλλὰ τὰς ἐπιμελείας εὐδοκιμεῖν. Ἰσ. 15, 292. — Ἃ ἐπὶ τῶν ἄλλων ὁρᾶτε, ταῦτ' ἐφ' ὑμῶν αὐτῶν ἀγνοεῖτε. Ἰσ. 8, 114. Προσήκει ἐπὶ μὲν τῶν κινδύνων τὴν ἀνδρίαν ἐνδείκνυσθαι, ἐν δὲ τῷ συμβουλεύειν φρονιμώτερα τῶν ἄλλων εἰπεῖν ἔχειν. Δη. 14, 8. — Ὅπερ ἐπὶ τῶν δούλων γε ἐλέγομεν, ταὐτὸν δραστέον τοῦτό γε καὶ ἐπ' ἐλευθέροισιν. Πλ. νό. 793.

A. 6. Aehnlich ist ἐφ' ἑαυτοῦ für sich, und ἐπὶ τεττάρων ꝛc. vier Mann hoch oder tief; auch ἐπὶ τέτταρας, wenn eine Bewegung gedacht wird. Αὐτοὶ ἐφ' ἑαυτῶν ἐχώρουν. Ξε. ἀπ. 2, 4, 10. Πᾶσα πρᾶξις αὐτὴ ἐφ' ἑαυτῆς πραττομένη οὔτε καλὴ οὔτε αἰσχρά. Πλ. συ. 180. — Ἐγένοντο τὸ μὲν μέτωπον ἐπὶ τριακοσίων, τὸ δὲ βάθος ἐφ' ἑκατόν. Ξε. Κυ. 2, 4, 2. Ἐτάχθησαν ἐπὶ τεττάρων. Ξε. ἀν. 1, 2, 15. Ἱστασθ' ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας. Ἀρ. ἀποσ. 47. (Ἐπὶ μιᾶς ἀσπίδος παρετάξαντο. Ἰσ. 6, 99.)

41. Auch mit dem Da. heißt *ἐπί* eig. auf (an, bei). [Reg. z. Th. u. *ἐπί* II.]

A. 1. Bei ἐπί mit dem Ge. wird eine mehr zufällige, freiere Verbindung gedacht; bei ἐπί mit dem Da. schwebt mehr der Begriff der Zugehörigkeit vor. So findet sich neben dem gew. ἐπὶ νεώς auch ἐπὶ νηί mit dem Begriffe einer Bestimmung zur Anführung oder Bemannung. [zu Xe. An. 1, 4, 2 u. z. Th. 2, 80, 2. vgl. zu 8, 74, 1.] Ἐπὶ τῆς κεφαλῆς τὰ ὅπλα ἔφερον. Xe. Αν. 4, 3, 6. Οἱ Θρᾷκες ἀλωπεκίδας ἐπὶ ταῖς κεφαλαῖς φοροῦσι καὶ τοῖς ὠσὶ καὶ ζειρὰς μέχρι τῶν ποδῶν ἐπὶ τῶν ἵππων ἔχουσιν. Xe. Αν. 7, 4, 4. Κνῆμον, ναύαρχον ἔτι ὄντα, καὶ τοὺς ὁπλίτας ἐπὶ ναυσὶν ὀλίγαις εὐθὺς πέμπουσιν. Θ. 2, 80, 2.

A. 2. Mit einer ähnlichen Nebenbeziehung bezeichnet ἐπί mit dem Da. auch die Nähe (von der Lage franz. sur). Eben so von der Zeit. Ἐξελαύνει εἰς Ἰσσούς, τῆς Κιλικίας ἐσχάτην πόλιν, ἐπὶ τῇ θαλάττῃ οἰκουμένην. Xe. Αν. 1, 4, 1. [z. Arr. 1, 29, 5 lat. A.] Ἔστι μεγάλου βασιλέως βασίλεια ἐν Κελαιναῖς ἐρυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ ὑπὸ τῇ ἀκροπόλει. Xe. Αν. 1, 2, 8. — Πάντες οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις παιδεύονται. Xe. Αν. 1, 9, 3. — Ἦν ἥλιος ἐπὶ δυσμαῖς. Xe. Αν. 7, 3, 34.

A. 3. Wie die Nähe bezeichnet ἐπί mit dem Da. auch die anschließende Folge, nach, local und temporal: οἱ ἐπὶ πᾶσι die zuletzt Gestellten, der Nachtrab; ἐπὶ τούτῳ, τούτοις hierauf. Ἐπανέστη ἐπὶ πᾶσιν. Αἰ. 2, 122. Ὀλίγοι τῶν ἐπὶ πᾶσιν ὑπὸ τῶν ψιλῶν ἀπέθανον. Xe. Ἑλ. 1, 1, 34. — Ἐπὶ κατειργασμένοις ἐλθεῖν βούλομαι. Λυ. 31, 9.

A. 4. Vorsteherschaft bezeichnet ἐπί mit dem Ge. in sofern allgemeine Leitung, mit dem Da. in sofern bestimmte Einwirkung zu denken ist. Τὰ πλεῖστα Φίλιππος διῳκήσατο τῷ διαφθείρειν τοὺς ἐπὶ τῶν πραγμάτων. Δη. 18, 247. Τοὺς ἐπὶ τοῖς πράγμασιν ὄντας αἰτιῶνται. Δη. 9, 2. Κατελέγη μετὰ Θρασύλλου τοῦ ἐπὶ τῶν ὁπλιτῶν. Λυ. 32, 5. Ἐπὶ τῷ θεωρικῷ τότε ὢν ἐπέδωκα τὰ χρήματα. Δη. 18, 113.

A. 5. Analog dem Falle 40 A. 5 findet sich auch ἐπί mit dem Da., mehr ein Anschließen bezeichnend. Ἡσυχίαν ἐποίησεν ἔχειν τὴν ψυχὴν μένουσαν ἐπὶ τῷ ἀληθεῖ. Πλ. Πρω. 356. (Εἰ καὶ κατὰ τὸν λογισμὸν ἐκεῖνα φανείη βελτίω, τῆς γε τύχης ἕνεκα, ᾗ παρὰ ταῦτ' ἀγαθῇ κέχρησθε, ἐπὶ τούτων ἄξιον μεῖναι. Δη. 20, 110.) Δεῖ καρτερεῖν ἐπὶ τοῖς παροῦσι καὶ θαῤῥεῖν ἄξιον περὶ τῶν μελλόντων. Ἰσ. 6, 48. Οἱ προέχοντες ποιηταὶ ἐπὶ ταῖς καλουμέναις γνώμαις μάλιστ' ἐσπούδασαν. Ἰσ. 2, 44. — Τὸ θῆλυ γένος ἀνδρῶν ἐν τοῖς καλοῖς πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον. Εὐ. Ἰνώ 9. Προσήκει ἐπαινεῖν τοὺς ἐπ' ἀγαθῷ τινι διαφέροντας. Ἰσ. 10, 15. Ἀεὶ πεινῶμεν ἐπὶ ταῖς ἐλπίσιν. Ἀντιφά. 122. — Ἐπὶ πολλοῖς δὴ λεγόμενον εὖ τὸ μὴ κινεῖν τὰ ἀκίνητα καὶ περὶ τούτου λέγοιτ' ἄν. Πλ. νό. 913. Διαφορὰ τὸ μὴ κινεῖν τὰ ἀκίνητα καὶ περὶ τούτου λέγοιτ' ἄν. Πλ. νό. 913. Διαφορὰ ἐπὶ τῇ τοῦ οἰκείου ἔχθρᾳ στάσις κέκληται, ἐπὶ δὲ τῇ τοῦ ἀλλοτρίου πόλεμος. Πλ. πολ. 470.

A. 6. Aehnlich steht ἐπί mit dem Da. bei den Begriffen der Gefühle und Ansichten wie der verwandten Aeußerungen: über, ob, wegen. Χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ δεῖ ποτε. Σο. ἀποσ. 665. Οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός. Χαιρή. Στ. 108, 4. Ἀποδέχου τῶν ἑταίρων μὴ μόνον τοὺς ἐπὶ τοῖς κακοῖς δυσχεραίνοντας, ἀλλὰ καὶ τοὺς ἐπὶ τοῖς ἀγαθοῖς μὴ φθονοῦντας. Ἰσ. 1, 26. Τί δεῖ ἃ πάλαι προεδοκῶμεν πείσεσθαι, ὑπὲρ τούτων νῦν ἄχθεσθαι ἢ λίαν οὕτω βαρέως φέρειν ἐπὶ ταῖς τῆς φύσεως συμφοραῖς; Λυ. 2, 77. Εὐλαβεῖσθαι δεῖ ποιεῖν ταῦτα ἐφ' οἷς τοῖς ἄλλοις χαλεπῶς τις ἔχων ὁρᾶται. Δη. 20, 135. Τὸν ἐπὶ ταῖς δωροδοκίαις προτρεπόμενον τοὺς δικαστὰς ὀργίζεσθαι αὐτὸν χρὴ τῶν τοιούτων πολὺ ἀφεστάναι. Αἰ. 2, 3. Ἐπὶ τίνι μάλιστα ἀγάλλῃ; Ἐπὶ φίλων ἀρετῇ καὶ

δυνάμει καὶ ὅτι τοιοῦτοι ὄντες ἐμοῦ ἐπιμέλονται. Xe. ου. 3, 14. Μὴ φαίνου φιλοτιμούμενος ἐπὶ τοῖς τοιούτοις ἃ καὶ τοῖς κακοῖς διαπράξασθαι δυνατόν ἐστιν, ἀλλ' ἐπ' ἀρετῇ μέγα φρονῶν, ἧς οὐδὲν μέρος τοῖς πονηροῖς μέτεστιν. Ἰσ. 2, 30. Οὐχὶ νοῦν ἔχειν ἡγοῦμαι, εἴ τις ἐν ἀφθόνοις τραφεὶς ἐπὶ τούτῳ σεμνύνεται. Δη. 18, 256. Ἐπὶ ἐπῶν ποιήσει Ὅμηρον ἔγωγε μάλιστα τεθαύμακα, ἐπὶ δὲ τραγῳδίᾳ Σοφοκλέα. Xe. ἀπ. 1, 4, 3. Δεῖ σκωπτόμενον ἐφ' ἑαυτῷ γελᾶν. Νικολ. 1, 31. Κέρδη τοιαῦτα χρή τινα κτᾶσθαι βροτῶν ἐφ' οἷσι μέλλει μήποθ' ὕστερον στένειν. Εὐ. Κρεσ. 8. Ἑλεεῖν ἐπὶ τοῖς ἀκουσίοις παθήμασι μᾶλλον προσήκει ἢ τοῖς ἑκουσίοις καὶ ἐκ προνοίας ἀδικήμασι καὶ ἁμαρτήμασιν. Ἀντ. 1, 27. — Ἐπὶ μὲν τοῖς ἀγαθοῖς φαιδροί, ἐπὶ δὲ τοῖς κακοῖς σκυθρωποὶ γίγνονται. Xe. ἀπ. 3, 10, 4. — Προειλόμην τῶν ἡδονῶν τὰς ἐπὶ ταῖς δόξαις ταῖς δι' ἀνδραγαθίαν γιγνομέναις. Ἰσ. 3, 44. Ἔρως ἐμποιεῖ τὴν ἐπὶ μὲν τοῖς αἰσχροῖς αἰσχύνην, τὴν δὲ ἐπὶ τοῖς καλοῖς φιλοτιμίαν. Πλ. συ. 178. Οἱ ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινοι τῶν οὕτω τελευτηκότων ἴδιον κτῆμά εἰσιν. Δη. 19, 313.

A. 7. So bezeichnet ἐπί mit dem Da. auch allgemein den Beweggrund einer Handlung: wegen, aus; in sofern etwas Bevorstehendes gemeint wird Beabsichtigung: zu; oft eine Tendenz zu schaden andeutend [z. Th. 3, 93, 2 vgl. 4, 98, 1], besonders bei persönlichen Begriffen. Χρὴ ἐπ' ἀξίοις πονεῖν. [Εὐ. Ῥῆσ. 182.] Δίκαιος ἂν εἴης, ὅτι οὐκ ἐξαπατᾷς ἐπὶ πλεονεξίᾳ. Xe. ἀπ. 1, 6, 12. Ταῦτα ἐπ' εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι. Λυ. 22, 13. — Οὐκ ἂν πολλὴ ἀμαθία εἴη τοῖς ἐπ' ὠφελείᾳ πεποιημένοις ἐπὶ βλάβῃ χρῆσθαι; Xe. ἀπ. 2, 3, 19. Δῶρα ἐπὶ τῷ ἑαυτοῦ κακῷ ἑκὼν οὐδεὶς λαμβάνει. Xe. Κυ. 1, 6, 21. Ἐπὶ τῷ κερδαίνειν πᾶν ἂν οὗτος ποιήσειεν. Δη. 45, 66. Οὐκ ἐπὶ τέχνῃ ἔμαθες, ὡς δημιουργὸς ἐσόμενος, ἀλλ' ἐπὶ παιδείᾳ. Πλ. Πρω. 312. 315. Κύλων κατέλαβε τὴν ἀκρόπολιν ὡς ἐπὶ τυραννίδι. Θ. 1, 126, 3. — Ἔνιοι ἐπὶ τοῖς ὑμετέροις ἐδωροδόκουν. Λυ. 25, 19. Χρήματα ἔχουσιν ἐφ' ὑμῖν. Δη. 19, 205. Οἱ νόμοι ἀπαγορεύουσι μηδὲ νόμον ἐξεῖναι ἐπ' ἀνδρὶ θεῖναι, ἂν μὴ τὸν αὐτὸν ἐφ' ἅπασιν Ἀθηναίοις. Δη. 46, 12. vgl. 24, 59 u. And. 89. (Ueber ἐπὶ θανάτῳ u. ἐπὶ θάνατον zu Xe. An. 1, 6, 10, u. A. 1, 89. ἐπὶ τούτῳ u. ἐπὶ τοῦτο z. Th. 4, 3, 2.)

A. 8. Aehnlich bezeichnet es worauf als seiner Bedingung etwas beruht: auf, unter der Bedingung daß. Ueber ἐφ' ᾧ (τε) § 65, 3, 3. Οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις μικρὸν εὐπορήσαντες χρόνον ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν. Δη. 1, 15. Ἥλεῖοι παρεκλήθησαν ὑπὸ Λεπρεατῶν ἐπὶ τῇ ἡμισείᾳ τῆς γῆς. Θ. 5, 31, 2. Πρότερον ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρικαὶ βασιλεῖαι. Θ. 1, 13, 1. Ἀλκιβιάδης τὴν Καλλίου ἔγημεν ἀδελφὴν ἐπὶ δέκα ταλάντοις. Ἀνδ. 4, 13. — Οὐκ ἂν ξυμβαίμεν ἄλλως ἢ ἐπὶ τοῖς εἰρημένοις. Εὐ. Φοί. 590. Ἠρώτα ἐπὶ τίσιν ἂν ξύμμαχος γένοιτο; ὁ δ' ἀπεκρίνατο ἐφ' ᾧ τε τοὺς πολίτας ἐλευθέρους τε καὶ αὐτονόμους ἐᾶν. Xe. Ἑλ. 3, 1, 20.

A. 9. Ἐπί τινι εἶναι, γίγνεσθαι heißt in Jemandes Gewalt sein, kommen (einstweilig, während bei ὑπό τινι dauernde Unterwürfigkeit gedacht wird vgl. zu Xe. An. 1, 1, 4 lat. A.); über ἔν τινι § 68, 12, 6). Aehnlich steht τὸ ἐπὶ τούτῳ (τοῦτον), mit und ohne εἶναι, so viel an ihm lag (so weit es ihn betraf). Vgl. § 53, 10, 5. Τὰ ὑμέτερα αὐτῶν ἐφ' ὑμῖν δικαίως ἐστὶ καὶ εὖ καὶ κακῶς, ἐὰν βούλησθε, διατίθεσθαι. Ἀνδ. 2, 19. Εἰ ἐπὶ τοῖς πολεμίοις ἐγένοντο, τί ἂν ἔπαθον; Xe. ἀν. 5, 8, 17. — Τὸ ἐπὶ τούτοις εἶναι ἐν τοῖς δεινοτάτοις κινδύνοις καθεστήκασιν. Λυ. 28, 14. Ἐκέλευε τὸ ἐπὶ σφᾶς εἶναι ἐπιχειρεῖν. Θ. 4, 28, 1. Τὸ ἐπὶ τούτῳ ἀπολώλαμεν ἅπαντες. Xe. ἀν. 6, 4, 23. Σώθητ' ὅσον γε τοὔπ' ἐμέ. Εὐ. Ὀρ. 1345. [Person zu Eu. Or. 1338.]

42. Mit dem Ac. heißt *ἐπί* auf, gegen, nach.

A. 1. Zunächst bezeichnet es eine Richtung nach oben: auf; sodann eine Richtung überhaupt: nach, zu (vgl. 40 A. 3); auch, beson-

ders von Personen, mit feindseliger Tendenz: gegen [z. Th. 1, 5, 1]; endlich auch ein Erstrecken: über — hin, dies sowohl temporal als local; taktisch 40 A. 6. Ἀναβάντες ἐπὶ τοὺς ἵππους ἡγοῦντο. Ξε. Κυ. 5, 5, 37. — Οὐκ ἔχει φύσιν τοὺς σοφοὺς ἐπὶ τὰς τῶν πλουσίων θύρας ἰέναι. Πλ. πολ. 489. Οὐ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν. Πλ. νό. 666. — Ὃ εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως ζηλωτὸς ἀνθρώποισιν· ὧν εἴην ἐγώ. Εὐ. Οἰδ. 3. Πολλοὶ τῶν ἀνθρώπων ἀμελήσαντες τοῦ συμφέροντος ἐπὶ τὰς ἡδονὰς ὁρμῶσιν. Ἰσ. 15, 221. Προτρέπετε τοὺς νεωτέρους ἐπ' ἀρετήν. Ἰσ. 3, 57. — Ὁ χρόνος χαίρει μεταπλάττων πάντας ἐπὶ τὰ χείρονα. Διφ. 78. Πᾶν κτῆμα καὶ θρέμμα τὸ ἐπὶ τὸ βέλτιον ἰὸν (ἐπιδιδόν), τοῦτο καὶ εὐφραίνειν μάλιστα ᾤετο. Ξε. οἰκ. 20, 23. — Οὐκ εἰκὸς ἀρχὴν ἐπὶ ἀρχὴν στρατεῦσαι. Θ. 6, 11, 2. Οὐδέν ἐστ' ὄφελος πόλεως ἥτις μὴ νεῦρα ἐπὶ τοὺς ἀδικοῦντας ἔχει. Δη. 19, 283. — Τὸ ὄμμα δύναται ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι. Ξε. ἀπ. 1, 4, 17. Λακεδαιμόνιοι οὐκ ἐπὶ πολὺ τὰς διώξεις ποιοῦνται. Θ. 5, 73, 5. Τὴν γῆν ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη. Θ. 3, 68, 3. Vgl. § 43, 4, 3 u. 8. Ueber ἐφ' ἡμέραν zu Th. 4, 69, 3, ἐπὶ πᾶν überhaupt zu 2, 51, 1.

A. 2. Das zu Erreichende kann auch ein zu Erlangendes, zu Holendes sein: nach. Πέμπουσιν ἐπὶ Δημοσθένην καὶ ἐπὶ τὰς εἴκοσι ναῦς τῶν Ἀθηναίων. Θ. 3, 105, 3. [zu Xe. An. 5, 10, 2 lat. A.]

A. 3. Hieran schließt sich der Begriff des Bezweckten: zu, für. [z. Th. 6, 9, 3.] Ἔπλει ἐφ' Ἱερὸν ἐπὶ τὴν παραπομπὴν τοῦ σίτου. Δη. 50, 17. Οἱ διάκονοι τὴν τοῦ σώματος ἰσχὺν ἱκανὴν ἐπὶ τοὺς πόνους ἔχουσιν. Πλ. πολ. 371. — Εἰς τὴν ἀγορὰν χειροτονεῖτε τοὺς ταξιάρχους, οὐκ ἐπὶ τὸν πόλεμον. Δη. 4, 26. Αἱροῦνται αὐτὸν ἐπὶ τὰς μεγίστας ἀρχάς. Πλ. Μέ. 90.

43. Ὑπό mit dem Ge. heißt unter, von, vor.

A. 1. Unter heißt es zunächst räumlich mit dem Begriffe des Ueberdeckens, meist nur in ὑπὸ γῆς; dann bei Objecten unter deren Zuthun etwas geschieht: ὑπὸ μαστίγων unter Geißeln, dadurch angetrieben; ὑπὸ κήρυκος unter Heroldsruf, dadurch ausgeboten. Ἠγοῦντο τῷ τοὺς αὑτοῦ αἰσχύνοντι οὔτε τινὰ ἀνθρώπων οὔτε θεῶν φίλον εἶναι οὔτ' ἐπὶ γῆς οὔθ' ὑπὸ γῆς τελευτήσαντι. Πλ. Μενέξ. 246. — Οἱ βάρβαροι ἐτόξευον ὑπὸ μαστίγων. Ξε. ἀν. 3, 4, 25. Μόνον οὐχ ὑπὸ κήρυκος πωλοῦσι τὰ κοινά. Δη. 51, 22. Vgl. z. Th. 5, 70; von, her zu Xe. An. 6, 2, 22.

A. 2. Ueber ὑπό bei Passiven § 52, 5, bei Neutren § 52, 3, 1. So steht es auch bei passivartigen Ausdrücken, besonders bei Substantiven. [z. Th. 1, 130, 1.] Ἐγίγνετο ἔργῳ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. Θ. 2, 65, 6. Παυσανίας ἦν ἐν μεγάλῳ ἀξιώματι ὑπὸ τῶν Ἑλλήνων. Θ. 1, 130, 1. Ἥδεται τῇ ὑπὸ πάντων τιμῇ. Ξε. Κυ. 3, 3, 2. — Δίκαιοι ὄντες ἀζήμιοι ὑπὸ θεῶν ἐσόμεθα. Πλ. πολ. 366.

A. 3. Analog bezeichnet es, besonders bei sachlichen Begriffen, die wirkende Ursache (gew. ohne Artikel): vor, aus, wegen. [Reg. z. Th. u. ὑπό.] Τῶν ἀποβαλλόντων τι ὄψει οὐδένα δυνάμενον καθεύδειν ὑπὸ λύπης. Ξε. Κυ. 8, 3, 42. Ἡ ψυχὴ ὑπὸ ἡσυχίας οὔτε τι μανθάνει, ἅ, τε ἂν μάθῃ ἐπιλανθάνεται. Πλ. Θε. 103. Ὑπὸ ἀνανδρίας ἢ γήρως ἢ τινος ἄλλης ἀσθενείας φέγει τὸ ἀδικεῖν. Πλ. πολ. 366. Ὑπ' ἐλπίδων ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν. Σο. Ἀντ. 221. — Ὑπὸ πνευμάτων οὐ δυνάμεθα βοηθεῖν. Δη 8, 17. Οὐκέτι οἷόν τε ἦν ἀποχωρεῖν ὑπὸ τῶν ἱππέων. Θ. 7, 78, 4.

44. Mit dem Da. heißt ὑπό unter.

A. Local bezeichnet es theils eine Lage, theils ein Verdecken; sodann auch Unterwürfigkeit, bei Verben der Bewegung ein herbeigeführtes Resultat ausdrückend. Τυγχάνει τὰ ἐπὶ γῆς ὑπὸ τῷ οὐρανῷ ὄντα. Πλ. Φαῖδ. 110. Εὐκλεὴς θανεῖ γυνή τ' ἀρίστη τῶν ὑφ' ἡλίῳ μακρῷ. Εὐ. Ἄλκ. 150. Ἔστι βασίλεια ἐν Κελαιναῖς ὑπὸ τῇ ἀκροπόλει. Ξε. ἀν. 1, 2, 8. Τί ἔχεις ὑπὸ τῷ ἱματίῳ; Πλ. Φαῖδ. 228. — Ἦν ἔτι ὑπὸ νόμοις καὶ πατρί. Πλ. πολ. 574. Τῶν Ἑλλήνων οἱ μὲν ὑφ' ἡμῖν, οἱ δ' ὑπὸ Λακεδαιμονίοις εἰσίν. Ἰσ. 4, 16. — Οἱ πρόγονοι ὑπὸ τοῖς τυράννοις ἐγένοντο. Λυ. 26, 22. Εὐαγόρας τοὺς φίλους ταῖς εὐεργεσίαις ὑφ' ἑαυτῷ ἐποιεῖτο. Ἰσ. 9, 45.

45. Mit dem Ac. heißt ὑπό eig. unter — hin.

A. 1. Local bezeichnet es das Erstrecken; bei Verben der Bewegung auch das Erreichen mit Bezug auf höher Gelegenes; ein Erstrecken auch in ὑπὸ τὸν ἥλιον wie in ὑπ' αὐγάς bei Lichte; auch temporal: während, um, Ἐπορευόμην τὴν ἔξω τείχους ὑπ' αὐτὸ τὸ τεῖχος. Πλ. Λυ. 203. Ἐν ταῖς ὑπὸ τὸ ὄρος κώμαις ἠθλίζοντο. Ξε. ἀν. 7, 4, 5 u. die A. — Ἀνακεχωρηκότες ὑπὸ τὸ τεῖχος καὶ τὰς πύλας ἡσυχίαν ἦγον. Ξε. Ἑλ. 6, 5, 8. Ὑπὸ τὴν σκιὰν ἐκαθέζετο. Ἀνδ. 1, 38. — Τὸν Φίλιππον τῶν ὑπὸ τὸν ἥλιον ἀνθρώπων ἔφη πάντων εἶναι δεινότατον. Αἰ. 2, 41. Ταῦτα ὑπ' αὐγὰς μᾶλλον ἴδωμεν. Πλ. Φαῖδ. 267. — Θυρέαν ἔδοσαν Λακεδαιμόνιοι Αἰγινήταις ἐκπεσοῦσιν ἐνοικεῖν διά τε τὰς ὑπὸ τὸν σεισμὸν σφίσι γενομένας καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν εὐεργεσίας. Θ. 4, 56, 4. [zu 1, 100, 3.]

A. 2. Von Unterwürfigkeit gebraucht bezeichnet ὑπό mit dem Ac. die Herbeiführung derselben bei Verben der Bewegung; ein Erstrecken der Gewalt bei Begriffen der Ruhe. Οἱ φρόνιμοι πόλεις τε καὶ ἔθνη δύνανται ἀνθρώπων ὑφ' ἑαυτοὺς ποιεῖσθαι. Πλ. πολ. 348. Ὁποῖοί τινες ἂν οἱ προστάται ὦσι, τοιοῦτοι καὶ οἱ ὑπ' αὐτοὺς ἐπὶ τὸ πολὺ γίγνονται. Ξε. Κυ. 8, 8, 5. [vgl. z. Th. 6, 86, 3.]

V. Die Präpositionen in Compositen.

46. In Compositen haben die Präpositionen gew. eine oder die andere ihrer localen Grundbedeutungen, zum Theil jedoch eigenthümlich schattirt.

A. 1. Ἐν heißt gew. in, darin, dabei: ἔγγειος, ἐνοικεῖν, ἐμμένειν; über ἔν für εἷς § 48, 11, 3. 4.

A. 2. Σύν bezeichnet theils Verbindung (§ 68, 13, 1), theils Mitwirkung: συμπορεύεσθαι, συλλέγειν; συμπράττειν.

A. 3. Μετά bezeichnet gew. Genossenschaft, Theilnahme oder Umwandelung: μεταδιδόναι, μετέχειν; μεθιστάναι, μετανοεῖν.

A. 4. Ἀντί bezeichnet besonders Gegensatz oder auch Vergeltung: ἀντιλέγειν, ἀντιδιδόναι.

A. 5. Πρό heißt vor, vorwärts; vor auch von Veröffentlichung, Vorsteherschaft, Vorzug, Zeit: προτάττειν, προβαίνειν; προγράφειν, προστατεύειν, προαιρεῖσθαι, προεἰπεῖν.

A. 6. Ἀπό bezeichnet gew. Trennung oder Sonderung (ab, se —): ἀπέρχεσθαι, ἀποτιθέναι, ἀπομανθάνειν verlernen. Ἀπαιτεῖν, ἀποδιδόναι, ἀπολαμβάνειν heißen Schuldiges fordern, abtragen, erhalten.

A. 7. Ἐκ bezeichnet gewöhnlich das Ausgehen: ἐξιέναι, ἐκβάλλειν; zuweilen Vollendung oder Genauigkeit: ἐξοπλίζεσθαι sich völlig bewaffnen, ἐκλογίζεσθαι genau berechnen.

A. 8. Das correlate εἰς heißt hinein: εἰςιέναι. vgl. A. 1.

A. 9. Ἀνά heißt auf, hinauf; auch, wie ἄνω, die Richtung von der Küste nach dem Binnenlande bezeichnend: ferner zurück, wieder: ἀνέχειν emporragen, ἀναβαίνειν, ἀνελίττειν; ἀναχωρεῖν; ἀναμάχεσθαι.

A. 10. Κατά als Gegensatz von ἀνά heißt herab; auch, wie κάτω, die Richtung aus dem Binnenlande nach der Küste bezeichnend: καταβάλλειν, καταβαίνειν. Von der Zurückführung und Rückkehr Verbannter sagte man ka-

τάγειν, κατιέναι, κατέρχεσθαι, κάθοδος. Gegen heißt κατά besonders in den § 47, 24 angeführten Verben u. ä., wie in den von ihnen abgeleiteten Substantiven. Mit dem Begriffe der Vervollständigung entspricht es oft unserm ver —: καταπιμπράναι, καταπράττειν, καταναλίσκειν.

A. 11. Διά heißt durch und über, trans: διέρχεσθαι, διάγειν, διαβαίνειν. Sodann bezeichnet es temporale Vollendung: διαμένειν, διατελεῖν; ferner Scheidung und Vertheilung (ver-, zer-, dis-): διέχειν, διίστασθαι; διαδιδόναι, διανέμειν.

A. 12. Ὑπέρ heißt über von einer Höhe: ὑπερέχειν, ὑπερβαίνειν; dann vom Uebermaß: ὑπερμισεῖν, ὑπέρσοφος, ὑπέρευ; doch auch von Mißachtung: ὑπερορᾶν, ὑπερφρονεῖν.

A. 13. Ἀμφί heißt eig. von zwei Seiten: ἀμφίστομος.

A. 14. Περί heißt um, eig. von allen Seiten: περιέρχεσθαι, περιβλέπειν; dann mit dem Begriffe der Auszeichnung: περίβλεπτος, περιχαρής; aber auch mit dem der Vernachlässigung: περιορᾶν übersehen.

A. 15. Παρά hat theils die Bedeutung des lat. ad mit dem Begriffe des Anschließens oder Anlangens: παρεῖναι, παρέρχεσθαι, παρακαλεῖν, παραλαμβάνειν; theils die des praeter, neben: παρακαθῆσθαι, παριέναι, παραπλεῖν längs der Küste schiffen. Uneigentlich bezeichnet es auch Uebertretung oder Verletzung von Verbindlichkeiten: παραβαίνειν z. B. νόμον, παρασπονδεῖν, παραπρεσβεύειν.

A. 16. Πρός bezeichnet theils die Bewegung nach einem Orte: hinzu, herzu, ad: προτέναι, προσάγειν, προσκαλεῖν; theils ein Hinzufügen: zu, noch dazu: προστιθέναι, προσαποβάλλειν.

A. 17. Ἐπί heißt theils auf: ἐπιτιθέναι, ἐποικοδομεῖν; theils zu, gegen: ἐπέρχεσθαι, ἐπιστρατεύειν; theils nach, hinten, auch temporal: ἐπιτάττειν, ἐπιστάτης Hintermann (sonst auch Vorsteher), ἐπίγονος. Ein Hinzufügen bezeichnet es in ἐπίκτητος, ἐπιμετρεῖν u. a.

A. 18. Ὑπό heißt theils unter: ὑπόγειος, ὑποχείριος, ὑπόσπονδος; theils hat es den Begriff des Unvermerkten, Langsamen: ὑποχωρεῖν, ὑπάγειν.

A. 19. Nicht selten finden sich zwei, ja selbst drei Präpositionen in Compositen: ἀντεπεξελαύνειν, ἐπεκδιηγεῖσθαι, προεξανίστασθαι; doch nicht in beliebiger Folge, z. B. ἀνεκ —. [Kr. De auth. praef. p. 1.]

A. 20. Bei zwei verbundenen Compositen erscheint die beiden gemeinschaftliche Präposition zuweilen nur beim ersten: συμπονεῖν καὶ φέρειν für συμφέρειν. [Schäfer z. Dem. 1 p. 246.]

§ 69. Conjunctionen (*σύνδεσμοι*).

1. Conjunctionen (*σύνδεσμοι*) im engern Sinne sind Wörter die einen Zusammenhang zwischen Begriffen oder Sätzen ausdrücken. Die Hauptarten sind

1) copulative (*συμπλεκτικοί*): *καί, τέ.*
2) disjunctive (*διαζευκτικοί*): *ἤ* oder, *εἴτε, οὔτε, μήτε, οὐδέ, μηδέ.*
3) adversative (*ἐναντιωματικοί*): *ἀλλά, ἀτάρ, μέν, δέ, μέντοι, καίτοι, καίπερ, ὅμως, (αὖ).*
4) comparative (*συγκριτικοί*): *ἤ* als, *ὡς* wie und *ὥσπερ, (ὅπως).*
5) hypothetische (*ὑποθετικοί*): *εἰ, ἐάν, (ἤν, ἄν).*

6) temporale (*χρονικοί*): *ὅτε, ὁπότε, ὡς, ἐπεί, ἐπειδή, ἕστε, ἕως, ἄχρι, μέχρι, πρίν.*
7) finale (*τελικοί?*): *ἵνα, ὡς, ὅπως, μή.*
8) consecutive (*συλλογιστικοί*): *ὡς, ὥστε; ἄρα, δή, τοίνυν, οὖν.*
9) caussale (*αἰτιολογικοί*): *ἅτε, ὡς, ὅτι, διότι, ἐπεί, ἐπειδή, ὅτε, ὁπότε, γάρ.*

A. Ueber parataktische Verbindungen § 59, 2 mit den Anm.; über die verschiedenen Arten von Satzgefügen § 65.

2. Gewöhnlich rechnet man zu den Conjunctionen auch die Partikeln, welche die Realität positiv oder negativ bestimmen oder modificiren: *γέ, δή, τοί, δῆτα, δήπου, δήπουθεν, ἄν, εἶθε, μέν, ἦ; μά, νή, ναί*, wie die Fragewörter *ἆρα, ἦ, μή, μῶν, πότερον, πότερα*, auch indirect neben *εἰ*.

3. Postpositiv sind außer den Enklitiken *γέ, πέρ, τέ, τοί*, noch das dynetische *ἄν, ἄρα, αὖ, γάρ, δαί, δέ, δή, δήπου, δήπουθεν, δῆτα, μέν, μέντοι, μήν, οὖν, τοίνυν.*

A. Ueber die Stellung vgl. § 68, 5. Das folgende Verzeichniß, hauptsächlich für das praktische Bedürfniß berechnet, führt die Conjunctionen in alphabetischer Folge auf und fügt auch manche Adverbia hinzu die syntaktisch wichtig sind.

4. Ἀλλά sondern, aber, doch, indessen. [Reg. zu Kr.s Ausgaben.]

A. 1. Von ἄλλος stammend beseitigt es eben Ausgesprochenes (wohl auch nur Angedeutetes), um etwas Anderes einzuführen. So erscheint es besonders häufig nach einer Negation, die aber auch in einer Frage liegen kann. Ueber die Ergänzung eines οὐδείς aus ἕκαστος § 61, 4, 2. Οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνήρ. Aisch. apos. 276. Τί δεῖ λέγειν περὶ τῶν παλαιῶν; ἀλλὰ τοὺς ἐφ' ἡμῶν αὐτῶν ἀναλογίσασθε. Dem. 26, 7. [zu Xe. An. 4, 6, 19 u. Schäfer z. Dem. 3 p. 464.] — Αἰσχρὰν γυναῖκ' ἔγγημας, ἀλλὰ πλουσίαν. Philipp. 29. — Ἀλγεινὰ Πρόκνη δῆλον, ἀλλ' ὅμως χρεὼν τὰ θεῖα θνητοὺς ὄντας εὐπετῶς φέρειν. Soph. apos. 521. (Ueber ἀλλά sondern bloß zu Xe. An. 1, 4, 18.)

A. 2. Ἀλλ' οὔ, ἀλλὰ μή heißt nicht aber, und nicht (vielmehr) § 59, 1, 10, auch nach einer Frage mit οὔ; nach einer andern Frage wie nach ὡς und ὥσπερ ist es unser und nicht vielmehr, ac non [zu Xe. An. 2, 1, 10]; ἀλλ' οὐδέ ja auch (selbst) nicht, nicht einmal. Οὐ τότε ἀντιλέγειν αὐτοὺς ἐχρῆν, ἀλλὰ μὴ νῦν ἐμὲ κρίνειν; Ai. 2, 161. — Τί τῶν τοιούτων ἔργων καλόν ἐστιν ἢ σεμνόν, ἀλλ' οὐκ αἰσχύνης ἄξιον; Is. 12, 213. Γίγνου πρὸς τοὺς πλησιάζοντας ὁμιλητικός, ἀλλὰ μὴ σεμνός. Is. 1, 30. Ὧν αὐτοὶ λαμβάνετε χάριν ἴστε, ὥσπερ ὑμεῖς τὰ τούτων μισθοφοροῦντες, ἀλλ' οὐ τούτων τὰ ὑμέτερα κλεπτόντων. Lu. 27, 11. — Τὸν καὶ λόγῳ καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾶν οὐκ ἂν δυναίμην οὔτ' εὖ λέγειν οὔτ' εὖ ποιεῖν, ἀλλ' οὐδὲ πειράσομαι. Xe. ap. 2, 3, 8. [zu Xe. An. 1, 3, 3.]

A. 3. Nach οὐ (μή) μόνον steht für ἀλλὰ καί bloß ἀλλά, wenn der Gegensatz hervorzuheben ist. [Heindorf zu Plat. Prot. 28.] — Oft ist das bloße ἀλλά unser sondern nur. Ἱμάτιον ἡμφίεσαι οὐ μόνον φαῦλον, ἀλλὰ τὸ αὐτὸ θέρους τε καὶ χειμῶνος. Xe. ap. 1, 6, 2. — Οὐδένα ἄνθρωπον δεσπότην, ἀλλὰ τοὺς θεοὺς προκυνεῖτε. Xe. an. 3, 2, 13. [Vgl. zu Xe. An. 1, 4, 18.]

A. 4. Eine Rede kann mit ἀλλά anfangen, wenn sie der eines andern entgegensteht, wie Xen. An. 1, 7, 6. 2, 1, 4. 5, 16. Vgl. § 69, 16, 5. Für unser oder steht es in Reden, wenn man sich Fragen einwirft, bei der zweiten

und den folgenden. [zu Xe. An. 2, 5, 18.] Τίνα καὶ ἀναβιβάσωμαι δεησόμενον ὑπὲρ ἐμαυτοῦ; τὸν πατέρα; ἀλλὰ τέθνηκεν· ἀλλὰ τοὺς ἀδελφούς; ἀλλ' οὐκ εἰσίν· ἀλλὰ τοὺς παῖδας; ἀλλ' οὔπω γεγένηνται. Ἀνδ. 1, 148.

A. 5. Mitten in der Rede und nach hypothetiſchen Sätzen heißt ἀλλά doch, wenigſtens, tamen, certe. [Heindorf zu Pl. Soph. 44.] Eben ſo finden ſich ἀλλὰ — γε doch wenigſtens, ἀλλ' οὖν (— γε vgl. Elmsley zu Eu. Her. 689) doch gewiß (wenigſtens). Αὐτή γε νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτέ. Σο. Ἠλ. 1013. [Elmsley zu Eu. Med. 882. 912 u. Her. 565 vgl. Buttm. zu So. Phi. 1041.] Βούλομαι αὐτὸν διδάξαι, ἄν πως ἀλλὰ νῦν γε παιδευθῇ. Λυ. 10, 15. Τοὺς πρώτους χρόνους ἀλλ' οὖν προσεποιοῦνθ' ὑμῖν εἶναι φίλοι. Αἰ. 3, 86. Ἐνόμιζον τοὺς ἄλλους ἀλλ' οὖν πειρᾶσθαί γε λανθάνειν κακουργοῦντας. Ἰσ. 15, 314. — Εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος. Σο. ἀπόσ. 677. Εἰ μὴ πάντα, ἀλλὰ πολλά γε ἴστε. Δείν. 2, 15. Εἰ καὶ μὴ καθ' Ἑλλάδα τεθράμμεθ', ἀλλ' οὖν ξυνετά μοι δοκεῖς λέγειν. Εὐ. Φοί. 497. Οἱ δίκαιοι τῶν ἀδίκων εἰ μηδὲν ἄλλο πλεονεκτοῦσιν, ἀλλ' οὖν ἐλπίσι γε σπουδαίοις προέχουσιν. Ἰσ. 1, 39. Οἱ ἀεὶ τοῖς αὐτοῖς ἐπιστατοῦντες, ἢν καὶ τὴν φύσιν καταδεεστέραν ἔχωσιν, ἀλλ' οὖν ταῖς γ' ἐμπειρίαις πολὺ τῶν ἄλλων προέχουσιν. Ἰσ. 3, 18.

A. 6. Nach einer Negation oder einer negationsartigen Frage heißt (in zuſammenhängender Conſtruction) ἀλλά, gewöhnlicher ἀλλ' ἤ, außer, als, letzteres wohl eig. pleonaſtiſch, gleichſam außer als. [Hermann z. Vig. 277. vgl. Stallbaum z. Plat. Phaed. 81, b u. Rep. 601, a.] Nur durch den Accent von ἄλλ' ἤ verſchieden ſcheint ἀλλ' ἤ mehr hervorzuheben, während ἄλλ' ἤ (ἄλλο ἤ, ἄλλο γ' ἤ) bloß eine Ausnahme anführt. (Λέγει μηδένα ἕτερον εἶναι τὸν φονέα ἀλλ' Ἀρίσταρχον. Δη. 21, 121.) — Οὐδὲν ἄλλο σκοπεῖν προσήκει ἀνθρώπῳ καὶ περὶ αὐτοῦ καὶ περὶ τῶν ἄλλων ἀλλ' ἢ τὸ ἄριστον καὶ τὸ βέλτιστον. Πλ. Φαίδ. 97. Ἡ φιλοσοφία πιστεύει οὐδενὶ ἄλλῳ ἀλλ' ἢ αὐτῇ αὑτῇ. Πλ. Φαίδ. 83. Οὐκ ἔστι τὰ πράγματα μαθεῖν ἀλλ' ἢ ἐκ τῶν ὀνομάτων. Πλ. Κρατ. 438. — Ἡ ῥητορικὴ οὐδὲν ἄλλο ἢ κολακεία τυγχάνει οὖσα. Πλ. Γο. 513. — (Θέμις οὔτ' ἦν οὔτ' ἔστι τῷ ἀρίστῳ δρᾶν ἄλλο πλὴν τὸ κάλλιστον. Πλ. Τίμ. 30.)

A. 7. Ueber ἄλλο τι (ἤ) § 62, 3, 7 u. 8.

5. Ἄλλως anders; nichtig § 66, 1, 1 [vgl. Buttm. zu So. Phi. 947], τὴν ἄλλως § 43, 3, 8.

A. Unſerm zumal entſpricht ἄλλως τε καί (ſelten καὶ ἄλλως καί) vor einem hypothetiſchen oder temporalen (ſelten mit einem cauſſalen) Satze, oder einem gleichbedeutenden Particip. [z Arr. 1, 15, 2.] (Wo καί fehlt ſcheint ἄλλως vollends zu heißen vgl. Herm. z. Vig. 232 und Schäfer z. Dem. 5 p. 56.) Οὐδὲ καταλύεσθαι ἔτι καλόν, ἄλλως τε καὶ εἰ δόξομεν ἄρξαι μᾶλλον τῆς διαφορᾶς. Θ. 1, 81, 2. Οὐ δεῖ ἀδικεῖν τοὺς ἱκέτας, ἄλλως τε καὶ ὅταν μετ' εὐνοίας τι, μὴ πονηρίᾳ πταίσωσιν. Μέ. 111. (Δεῖ ἐπὶ τῶν πράξεων τῶν χρησίμων αὐτοὺς δοκιμάζειν, ἄλλως τ' ἐπειδὴ περὶ τῶν γυμναζίων τῶν τῆς ψυχῆς ἀμφισβητοῦσιν οἱ περὶ τὴν φιλοσοφίαν ὄντες. Ἰσ 2, 50 z. Th. 6, 72, 2 vgl. Buttm. zu Pl. Men. 20, 5.) — Περὶ τοῦ δικαίου καὶ ἀρετῆς πρῶτον, ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι, τοὺς λόγους ποιησόμεθα. Θ. 3, 10, 1. Οὐδὲν νομίζω ἀνδρί, ἄλλως τε καὶ ἄρχοντι, κάλλιον εἶναι κτῆμα οὐδὲ λαμπρότερον ἀρετῆς καὶ δικαιοσύνης καὶ γενναιότητος. Ξε. ἀν. 7, 7, 41. Ἔδοξεν αὐτοῖς ἐπὶ τῆς Ἡμέρας πλεῖν ἄλλως τε καὶ τῶν Ἀττικῶν νεῶν οὔπω παρουσῶν. Θ. 7, 1, 4. Πρὸς τὴν πονηρίαν ἀμίλλητέον ἡμῖν ἐστιν, ἄλλως τε καὶ προσῆκον ἡμῖν βελτίστοις ἁπάντων ἀνθρώπων εἶναι. Ἰσ. 7, 73. (Πολλὰ ἄν τις ἔχοι, ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν. Πλ. Κρίτ. 50.)

6. Ἅμα zugleich. Vgl. § 48, 14.

A. Ἅμα mit dem Particip § 56, 10. 3; ἅμα μέν — ἅμα δέ § 59, 1, 4. Ἅμα (—) καί verbindet ſowohl einzelne Begriffe (wie auch ὁμοῦ) als Sätze, in dieſem Falle unſer nicht ſobald — als. Καὶ ἅμα fügt zuweilen (ohne

ὅτι) einen zweiten Grund hinzu. Δοκεῖ σπανιώτατον εἶναι εὐπαιδίας τυχεῖν ἅμα καὶ πολυπαιδίας. Ἰσ. 9, 72. (Ἐφόνευον ἄνδρας ὁμοῦ καὶ ἵππους. Ξε. Κυ. 3, 3, 64.) — Ἅμα πλουτοῦσι καὶ ὑμᾶς μισοῦσιν. Λυ. 28, 7. Οἱ πανοῦργοῦντες ἅμα τε πανουργοῦσι καὶ πρόφασιν εὑρίσκουσι τοῦ ἀδικήματος. Ἀντ. 5, 65. [z. Her. 1, 112, 1.] Ἀμυρταῖον διὰ μέγεθός τε τοῦ ἕλους οὐκ ἐδύναντο ἑλεῖν καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν Αἰγυπτίων οἱ ἕλειοι. Θ. 1, 110, 1.

7. Ἄν etwa. [Kurz. Hermann Opusce. 4 p. 373 ss. Ueber Einzelnheiten die Reg. zu Kr.s Ausgaben u. ἄν.]

A. 1. Es bezeichnet eine bloß geſetzte Wirklichkeit, die, weil ſie eben durch die Umſtände bedingt iſt, nur als Möglichkeit erſcheint, weßhalb es das dynetiſche ἄν genannt wird (kurz, während das hypothetiſche lang iſt. Vgl. 54, 9 A.). Vermöge ſeiner Bedeutung erfordert es eig immer ein Verbum. Des ἄν empfänglich ſind faſt alle Modi; die Ausnahmen § 64, 2, 2. Ueber ἄν 1) mit dem Indicativ a) in ſelbſtändigen Sätzen § 64, 3, 1. 3; mit Ergänzung eines hypothetiſchen Satzes § 54, 12, 9; beim Ind. des Fu. § 64, 3, 3. b) in ideell abhängigen § 54, 6, 6; c) im Nachſatze eines hypothetiſchen Perioden § 54, 10, 1—6, 12 A 7 u 8, § 65, 5, 8. 2) Mit dem Optativ a) in ſelbſtändigen Sätzen § 54, 3, 6—10, 11 A. 1, 12 A. 1; mit Ergänzung eines hypothetiſchen Satzes § 54, 12, 9; b) in ideell abhängigen § 54, 6, 6, vgl. § 65, 1; c) in finalen § 54, 8, 4; d) in hypothetiſchen § 54, 11, 2; e) in relativen § 54, 14, 2—4, § 65, 6, 1—4; f) in cauſſalen 65, 8; g) im Nachſatze eines hypothetiſchen Satzes § 54, 11, 1 u. 2. 12, 1. 7 u. 8, § 65, 5, 2, 4 u. 6; h) in finalen Sätzen § 54, 8, 4; i) in temporalen § 65, 7, 3 E. 3) Den Conjunctiv hat ἄν verſchmolzen mit εἰ in ἐάν, ἤν, ἄν § 54, 12, 1 u. 4; verbunden mit Relativen § 54, 15, 1 u. 2 oder verſchmolzen mit temporalen Conjunctionen § 54, 17, 1. 4 u. 6. 4) Dem Infinitiv oder Particip wird ἄν beigefügt wo bei der Auflöſung in einen ſelbſtändigen Satz (oder einen Satz mit ὅτι) ἄν mit dem Indicativ (meiſt eines hiſtoriſchen Tempus) oder mit dem Optativ ſtehen müßte § 54, 6, 6; beim Inf. des Fu. § 64, 3, 3; bei ὡς und ὥστε § 65, 3, 1. 2 u. 4; beim Particip auch iterativ zu Xe. An. 4, 7, 16. Zw. beim Part. des Fu. z. Th. 5, 15, 2. Ueber τάχ' ἄν ἴσως z. Th. 6, 10, 2.

A. 2. Fehlen kann das zu ἄν gehörige Verbum wenn das vorhergehende (in der da ſtehenden oder in einer ſinngemäßen Form) zu ergänzen [Heindorf zu Pl. Lyſ. 40 u. Schömann z. Is. p. 424] oder ein allgemeiner Begriff wie εἶη, ποιοίης, εἴποις zu denken iſt. Ὄλβου ἐπιρρυέντος εὐτυχέστερος ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ. Εὐ. Μήδ. 1229 — Μισεῖ καὶ φιλεῖ οὔςπερ ἂν ἡ πατρίς (erg. μισῇ καὶ φιλῇ). Δη. 18, 280. Οἱ ἑρασταὶ ἐθέλουσι δουλείας δουλεύειν οἵας οὐδ' ἂν δοῦλος οὐδεὶς (erg δουλεύειν ἐθέλοι). Ἰλ. σο. 183. Ἡ γυνὴ οὐκ ἤθελεν ἀπιέναι, ὡς ἂν ἀσμένη με ἑωρακοῖα ἥκοντα διὰ χρόνου. Λυ. 1, 12. [zu Xe. An. 5, 7, 22.] Οἱ οἰκέται ῥέγκουσιν, ἀλλ' οὐκ ἂν πρὸ τοῦ (erg. ἔῤῥεγκον). Ἀρ. νε. 5. — Τί δῆτ' ἂν (erg. εἴποις), ἕτερον εἰ πύθοιο Σωκράτους φρόντισμα; Ἀρ. νε. 154.

A. 3. Zwei [ja 3] Mal ſteht ἄν (faſt nie beim Conjunctiv), wenn ſein Begriff auch bei einem andern Worte als dem Verbum zu urgiren iſt; oder bei weiterer Entfernung epanaleptiſch, wie Xen. An. 2, 5, 20 [u. Reg. z. Th. u. ἄν F.] Οὕτω γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν κακῆς ἀνὴρ κτήσαιτ' ἂν οὐδὲ σώφρονος κρεῖσσον. Σο. ἀποσ. 608. [Πῶς ἂν οὖν οὐκ ἂν δεινὰ πάσχοιμεν; Λυ 20, 15. vgl. eb. § 9.] z. Th. 3, 42, 4. vgl. Elmsley zu Eu. Her. 721, z. Med. 1257 u. zu So. Ai. 469 u. zu So. OK. 924; beim Inf. eb. zu So. OT. 1227.

A 4 Ergänzt werden kann ἄν beſonders bei parataktiſcher Verbindung, wenn es zum erſten Verbum geſetzt iſt, zu dem oder den folgenden. [zu Xe An. 1, 6, 2 lat. A.] Ὁ ἑκὼν πεινῶν φάγοι ἂν ὁπότε βούλοιτο καὶ ὁ ἑκὼν διψῶν πίοι. Ξε. ἀπ. 2, 1, 18. Βίᾳ οὔτ' ἂν ἕλοις οὔτε κατάσχοις φίλον. Ξε. ἀπ. 3, 11, 11. — Πείθοι' ἄν, εἰ πείθοι', ἀπειθοίης δ' ἴσως. Αἰσ. Ἀγ.

1049. — Ἕτερον ἄν τι εἴη· οὐ γὰρ δὴ τό γε αὐτὸ πράττοι. Πλ. πολ. 439. Vgl. Lyſ. 14, 21, Kr. zu Xen. An. 4, 6, 13. und z. Th. 4, 19, 1.

A. 5. Geſtellt wird ἄν, wenn es dem Verbum folgt, gew. unmittelbar nach demſelben; vorangehend, wie immer beim Conjunctiv, iſt es oft ziemlich weit von dem Verbum entfernt. Beſonders fügt es ſich gern an ein für die Modalität des Gedankens bedeutſames Wort, an γάρ, ὡς, ὥστε wie an die finalen und temporalen Conjunctionen, an Adverbia [Werfer Acta Mon. p. 252 ss.], Fragewörter und Negationen (οὐκ ἄν, ſelten ἄν οὐκ z. Th. 6, 50, 1), Conjunctionen und hypothetiſche Relative (vgl. § 54, 15, 1); wenn es zum Infinitiv gehört, an das dieſen regierende Verbum. [Arnold z. Th. 2, 89.] Bei οἶδα ſteht es zuweilen, wenn es auch erſt zum Verbum des abhängigen Satzes gehört. Οὐκ οἶδ' ἂν εἰ πείσαιμι, πειρᾶσθαι δὲ χρή. Eὐ. Μήδ. 941. Οὐκ ἂν οἶδ' ὅ, τι πλέον εὕροι τούτου. Δη. 11, 44. [Elmsley zu Eu. Med. 911, Cobet N. l. p. 586 s. u. Schäfer z. Dem. 5 p. 169.]

(A. 6. Im Anfange des Satzes findet es ſich nur in ſolchen Verbindungen wo der Grieche eben keine Pauſe machte; auch dies nicht häufig. Εἴπερ εἰ τῶν φιλοσόφων, οἶμαι, ἂν ὡς ἐγὼ λέγω ποιοῖς. Πλ. Φαῖδ. 101. — Τί οὖν, ἂν φαίη ὁ λόγος, ἔτι ἀπιστεῖς; Πλ. Φαῖδ. 87. Vgl. Heindorf z. Pl. Phaid. 82.)

8. Ἄρα ſichtlich, begreiflich, scilicet; demnach. [Vgl. die Reg. zu Kr.s Ausgaben.] Ueber die Stellung § 69, 3.

A. Es hat den Begriff des aus einer vorliegenden Thatſache Erſichtlichen, vgl. § 53, 2, 6. So auch in ὡς ἄρα (ſelten ὅτι-ἄρα) daß ja und εἰ ἄρα, ἐὰν ἄρα ob oder wenn nämlich, ob oder wenn etwa. Als Folgerungspartikel heißt es alſo. Τοιαῦτα λέγουσι παραδείγματα ὡς ἄρ' οἱ πρόγονοι μεγάλα εὐ παθόντες οὐδέν' ἐτίμησαν. Δη. 20, 119. — Ἄκουε εἴ τι ἄρα λέγω. Πλ. πολ. 433. Ὁ νομοθέτης διδάσκει τιμᾶν τὸ γῆρας, εἰς ὃ πάντες ἀφιξόμεθα, ἐὰν ἄρα διαγιγνώμεθα. Αἰ. 1, 24. — Τί περὶ ψυχῆς ἐλέγομεν; ὁρατὸν εἶναι ἢ οὐχ ὁρατόν; Οὐχ ὁρατόν. Ἀειδὲς ἄρα. Ναί. Ὁμοιότερον ἄρα ψυχὴ σώματός ἐστι τῷ ἀειδεῖ, τὸ δὲ τῷ ὁρατῷ. Πλ. Φαῖδ. 79.

9. Ἄρα num, directes Fragewort. [Herm. Vig. 292 ss.]

